## Ἀστραμψύχου Αἰγυπτίου

## πρὸς τὸν βασιλέα Πτολεμαῖον περὶ προρρήσεως διαφόρων ζητημάτων.

Ὅτι μηδὲν ὤφειλέ σε τῶν καλῶν λανθάνειν καὶ τῶν εἰς τὸν ἀνθρώπινον βίον χρησίμων, ἐπιστάμενος δὲ περιέργως μᾶλλον ἔχοντά σε καὶ ἐπιθυμητικῶς περὶ τὰ τοιαῦτα, πάλιν ἑτέραν ἐξέπεμψα βίβλον πολὺν κόπον ὑπομείνας. ἐκ γὰρ τῶν ἀδύτων ἀπανθισάμενος τὰ δοκοῦντά σε λανθάνειν ἤδη δῆλα ποιῶ ὅπως μηδὲν ἄγνωστον καταλείπηταί σοι τῶν προσηκόντων. ἔστι δὲ ἡ βίβλος εὕρημα Πυθαγόρου τοῦ φιλοσόφου σκεπτικὴ προγνώσεως δι' ἀριθμῶν, ἣν διερχόμενος εὑρήσεις οὕτως ἔχουσαν. πρόκεινται καταγεγραμμέναι αἱ σκέψεις τῶν καθ' ἕκαστα ζητημάτων, δι' ἃς ὁ προσιὼν ἐρωτᾷ, καὶ ταύταις παράκεινται ἀριθμοὶ ἀρχόμενοι ἀπὸ τοῦ ιβ̅ καὶ προϊόντες κατὰ τὴν τάξιν τοῦ φυσικοῦ ἀριθμοῦ. λαμβάνων οὖν τὸν παρακείμενον τῇ προκειμένῃ ζητήσει τοὐτ' ἔστι τῇ προβληθείσῃ παρὰ τοῦ ἐρωτῶντος καὶ κατέχων παρὰ σαυτῷ λέγε τὸν ἐρωτῶντα ἵνα λάχῃ καὶ εἴπῃ σοι ἀριθμόν τινα ἀπὸ τοῦ α̅ μέχρι δεκάδος ὃν ἂν ἐθελήσῃ καὶ ὁ θεὸς δῷ αὐτῷ ἐν ἀνοίξει τοῦ στόματος. καὶ λαμβάνων τοῦτον τὸν ἀριθμὸν συντίθει μετὰ τοῦ προτέρου ἀριθμοῦ τοῦ ζητήματος. καὶ μεταβὰς εὑρήσεις σελίδα περιέχουσαν ἀριθμοὺς διὰ μέλανος ἀρχομένους ἀπὸ τοῦ ιγ̅ καὶ ἐφεξῆς κατὰ τὴν τάξιν τῶν ἀριθμῶν καὶ τούτοις ἄλλους παρακειμένους ἀριθμοὺς διὰ κινναβάρεως οὐ κατὰ τὴν τάξιν τῶν ἀπὸ μονάδος ἀριθμῶν, ἀλλ' ἀναμὶξ

---

Ἀστραμψύχου P: ἀστραμψιχου L. in M est ἱερέως τοῦ ἀστραμψύχου ποίημα. desunt in eodem verba Ἀστραμψύχου — ἡ εὐχὴ αὕτη (p. 2, 26) || 2 δὲ περιέργως] περιεργως δὲ L || σε ex P adieci || 3 ἀδύτων P: ἀαύτων L || 4 ἄγνωστον P: ἄγνωστόν σοι L || 5 καταλείπηται] καταλείποιτο L || 12 δεκάδος] μονάδος L || δῷ] δώῃ L || 14 εὑρήσεις] εὑρήσοις L || 16 κινναβάρεως L ||



Universitäts- und
Landesbibliothek Düsseldorf

κειμένους κατὰ τὴν τῶν ζητημάτων ἀπόκρισιν. τὸν γοῦν διὰ κινναβάρεως ἀριθμὸν τὸν παρακείμενον τῷ μέλανι ὅς ἐστιν ἐκ τῆς συνθέσεως τοῦ τε ἀριθμοῦ τοῦ ζητήματος καὶ τοῦ ὃν ἔδωκέ σοι ὡς κλῆρον ὁ ἐρωτῶν ζητήσας ἔμπροσθεν εὑρήσεις εἰς τὴν τῶν ἐκκειμένων δεκάδων τάξιν καὶ ταύτην τὴν δεκάδα σκοπῶν ὅρα τοὺς ἐν ἀρχῇ τῶν στίχων παρακειμένους ἀριθμοὺς καὶ τὴν παρακειμένην ἀπόκρισιν τῷ ἀριθμῷ, ὃν ἔδωκέ σοι ὁ ἐρωτῶν ὡς κλῆρον. ταύτην ἀποφαίνου. οἷον ὡς ἐπὶ ὑποδείγματος κείσθω ζητεῖν τινὰ εἰ προκόψει ἐν τιμῇ, ᾧτινι παράκειται ἀριθμὸς ὁ $\overline{\iota\varsigma}$. ὑποκείσθω δὲ καὶ ὁ ἐρωτῶν ὅτι ἔδωκέ σοι ὡς κλῆρον ἀριθμὸν τὸν $\overline{\varepsilon}$. οὓς καὶ ἑνώσας ποιήσεις τὸν $\overline{\kappa\alpha}$. ὃν ζητήσας ἔμπροσθεν εἰς τὴν τῶν ἀριθμῶν σελίδα τῶν καταγεγραμμένων ὡς εἴρηται διὰ μέλανος εὑρήσεις αὐτῷ παρακείμενον διὰ κινναβάρεως τὸν $\overline{\eta}$ ἀριθμόν. καὶ ζητήσας ἔμπροσθεν τὴν $\overline{\eta}$ δεκάδα εὑρήσεις τῷ $\overline{\varepsilon}$ ἀριθμῷ τοῦ κλήρου παρακειμένην ἀπόκρισιν τὸ προκόψεις μετὰ χρόνον καθὼς ἐπιθυμεῖς. πάλιν δὲ εἰ ἐπὶ τοῦ αὐτοῦ ἐρωτήματος τοῦ ἔχοντος τὸν $\overline{\iota\varsigma}$ ἀριθμὸν δῴη σοι ὁ ἐρωτῶν ὡς κλῆρον τὸν $\overline{\iota}$ ἀριθμὸν (ἐπεὶ μείζονα ἀριθμὸν ἕτερον οὐκ ἐφεῖται αὐτῷ λαχεῖν), γίνεταί σοι ὁ ἐξ ἀμφοτέρων συντιθέμενος ἀριθμὸς ὁ $\overline{\kappa\varsigma}$. τοῦτον σκοπήσας ἐν τῇ τῶν διὰ μέλανος ἀριθμῶν σελίδι εὑρήσεις διὰ κινναβάρεως παρακείμενον τὸν $\overline{\iota\eta}$. ζητήσας οὖν τὴν $\overline{\iota\eta}$ δεκάδα εὑρήσεις ἐν αὐτῇ τῷ $\overline{\iota}$ τοῦ κλήρου ἀριθμῷ παρακειμένην ἀπόκρισιν τὸ προκόψεις ἐπὶ καλῷ καὶ δοξασθήσῃ. κατὰ τὴν αὐτὴν οὖν ἀναλογίαν καὶ μέθοδον, καὶ εἰ ἕτερός τις εἴη ὁ κληρούμενος **. ταύτῃ τῇ διαγνώσει χρώμενος καὶ ὁ πρὸ σοῦ βασιλεὺς Ἀλέξανδρος ὁ ἐκ Μακεδόνων τῆς οἰκουμένης ἐκράτησε, καὶ σὺ δ' ὁμοίως χρώμενος ἀδιάλειπτον ἕξεις τὸ κλέος ἐν ἅπασιν ἀνθρώποις. ἔρρωσο.

Οὕτω μὲν οὖν ὁ Ἀστράμψυχος, οἱ δὲ τῆς εἰς τὸν ἕνα θεὸν ἀκλινῶς ἀντεχόμενοι λατρείας προσέθηκαν καὶ εὐχὴν εἰς θεὸν ὀφειλομένην λέγεσθαι παρ' ἀμφοτέρων, τοῦ τε δηλονότι ἐρωτῶντος καὶ τοῦ τὴν ἀπόκρισιν διδόντος, ὑπὲρ τοῦ εὐμενὲς αὐτοῖς ἔσεσθαι τὸ θεῖον καὶ τὸ ἐσόμενον ἀποκαλύψαι κατὰ τὴν ζήτησιν. καὶ ἔστιν ἡ εὐχὴ αὕτη.

Παντόκρατορ κύριε θεὲ οὐράνιε, φῶς ἀένναον καὶ δύναμις ἀόρατε, ὁ μήτε λόγῳ νοούμενος μήτε διανοίᾳ χωρούμενος, ὁ κτίζων καὶ συνέ-

---

3 ἔδωκέ σοι ὡς] ἔδωκεν ὁ θεὸς L || 7 προκόψει] προκόπτει L || 8 καὶ post οὓς delendum videtur || 12 προκόψεις] προκόπτεις L || 15 in L inter ἐφεῖται et αὐτῷ vocabulum octo literarum erasum est || 18 προκόψεις ἐπὶ καλῷ καὶ δοξασθήσῃ] προκόπτεις ἐπὶ καλῶν καὶ δοξάζῃ L || 20 lacunam signavi || 21 ὁμοίως] ὁμοί᾽ L || 22 Ἀστράμψυχος] ἀστράμψιχος L || 26 post αὕτη in L tituli instar est εὐχή. M habet εὐχὴ πρὸς τὸν θεὸν ἣν δεῖ εὔχεσθαι ὁ θέλων ἐπερωτῆσαι || 27 κύριε θεὲ οὐράνιε] θεὲ αἰώνιε M || φῶς ἀένναον M ponit post ἀόρατε || 28 μήτε] μὴ M || νοούμενος om L || χρώμενος L ||

Universitäts- und
Landesbibliothek Düsseldorf

χων καὶ τρέφων τὰ σύμπαντα διὰ τῶν ἁγίων σου ἀγγέλων Μιχαὴλ Γαβριὴλ Ῥαφαὴλ καὶ τῶν λοιπῶν ἁπάντων, αὐτός, κύριε, σύνελθε καὶ συνέργησον ἐμοὶ τῷ δούλῳ σου εἰς τὴν ἀψευδῆ τοῦ ζητουμένου δήλωσίν τε καὶ βεβαίωσιν, ὅτι εὐλόγητος εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ταύτην εὔχου τὴν εὐχὴν πρὶν λάχῃς, ἅμα δὲ σὺν σοὶ ταύτην εὐχέσθω καὶ ὁ ἐρωτῶν. ἐπιτήρει δὲ καὶ ἡμέραν καὶ ὥραν, ἐν ᾗ συγκροτεῖται μάλιστα ὁ χρησμός. ὀφείλεις οὖν ἐρωτᾶν ἐν ἡμέραις μὲν τῆς ἑβδομάδος τῇ τε τρίτῃ, ἥτις ἐστὶ τοῦ ♂· τῇ πέμπτῃ, ἥτις ἐστὶ τοῦ ♃· τῷ σαββάτῳ, ἥτις ἐστὶ τοῦ ♄· καὶ τῇ κυριακῇ, ἥτις ἐστὶ τοῦ ☉· ἐν δὲ ταῖς λοιπαῖς οὐδαμῶς. καὶ ἐν ταῖς ὥραις δὲ τὴν μὲν κυριακὴν ἐν ὥρᾳ τρίτῃ, τὸ δὲ σάββατον ἐν ὥρᾳ ἕκτῃ, τὴν δὲ πέμπτην ἐν ὥρᾳ πέμπτῃ, τὴν δὲ τρίτην ἐν ὥρᾳ τρίτῃ· ἐν γὰρ ταῖς τοιαύταις ἡμέραις καὶ ὥραις βεβαιότεραι δίδονται αἱ ἀποκρίσεις. καὶ ἔτι πρὸ τοῦ σκέψασθαι τὴν ἐρώτησιν σκέψασθαι εἰ ἔστιν ὥρα τοῦ ἐπιβαλέσθαι τῷ χρησμῷ, ὅπερ τρισκαιδέκατόν ἐστι κεφάλαιον· καὶ λαβόντα κλῆρον ποιῆσαι κατὰ τὴν ἐκτεθεῖσαν μέθοδον, εἶθ᾽ οὕτως ζητῆσαι περὶ αὐτοῦ τοῦ ἐρωτήματος. σκοπεῖν δὲ δεῖ καὶ τὰς ἡμέρας τῆς σελήνης καθὼς ἐνταῦθα ἔκκειται·

| | | | | | | |
|---|---|---|---|---|---|---|
| ἡμέρας | α | πρωΐας | ια | δείλης | κα | πρωΐας |
| | β | δείλης | ιβ | δείλης | κβ | πρωΐας |
| | γ | μὴ χρῶ | ιγ | πρωΐας | κγ | δείλης |
| | δ | δι᾽ ὅλης τῆς ἡμέρας | ιδ | δείλης | κδ | μὴ χρῶ |
| | ε | μὴ χρῶ | ιε | πρωΐας | κε | δείλης |
| | ς | δι᾽ ὅλης τῆς ἡμέρας | ις | ὥρᾳ τρίτῃ | κς | δείλης |
| | ζ | πρωΐας | ιζ | δείλης | κζ | μὴ χρῶ |
| | η | μὴ χρῶ | ιη | ὥρᾳ τρίτῃ | κη | δείλης |
| | θ | δείλης | ιθ | μὴ χρῶ | κθ | δείλης |
| | ι | δείλης | κ | μὴ χρῶ | λ | δείλης |

Οἱ μὲν διὰ μέλανος ἀριθμοὶ συναγόμενοι ἐκ τῶν ζητημάτων καὶ τοῦ κλήρου εἰσίν, οἱ δὲ διὰ κινναβάρεως τῶν δεκάδων.

---

9 ♄] γς L ‖ 11 ☉] θ L ‖ 11 *δὲ* ante *σάββατον* addidi ‖ 13 *σκέψασθαι* corruptum videtur. fortasse *ζητῆσαι* ‖ 18 *ἡμέρας* ante *α* om L ‖ *α πρωΐας* P: *α πρωΐ* LM ‖ *κα πρωΐας* P: *κα πρωΐ* LM ‖ 19 *κβ πρωΐας* P: *κβ πρωΐ* LM ‖ 20 *ιγ πρωΐας*] *ιγ πρωΐ* LM ‖ 22 *ιε πρωΐας*] *ιε πρωΐ* LM ‖ 24 *ζ πρωΐας* P: *ζ πρωΐ* LM ‖ 29 post *δεκάδων* L addit *τοῦτο τίθει εἰς τὸ κανόνιον* ‖



Universitäts- und
Landesbibliothek Düsseldorf

| | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ιγ | κ | λα | λη | μη | ε | ξε | οη | πβ | νη | ϟθ | ξε |
| ιδ | ρα | λβ | λδ | μθ | με | ξϛ | μη | πγ | πε | ρ | ογ |
| ιε | μδ | λγ | γ | ν | ρ | ξζ | νθ | πδ | πζ | ρα | λβ |
| ιϛ | ϟη | λδ | ξη | να | μα | ξη | ζ | πε | κϛ | ρβ | ιϛ |
| ιζ | ιθ | λε | οϛ | νβ | λθ | ξθ | α | πϛ | ξϛ | ργ | β |
| ιη | ϟγ | λϛ | ν | νγ | ια | ο | ϟε | πζ | ξζ | ρδ | να |
| ιθ | οθ | λζ | νγ | νδ | οδ | οα | ϟ | πη | θ | ρε | κη |
| κ | λε | λη | δ | νε | ι | οβ | ιζ | πθ | οβ | ρϛ | λϛ |
| κα | η | λθ | ϟϛ | νϛ | μθ | ογ | κβ | ϟ | ιγ | ρζ | ξγ |
| κβ | μϛ | μ | μ | νζ | πγ | οδ | π | ϟα | πα | ρη | πβ |
| κγ | κδ | μα | κα | νη | ϟδ | οε | ξ | ϟβ | ιβ | ρθ | πη |
| κδ | κζ | μβ | κγ | νθ | πϛ | οϛ | πδ | ϟγ | νζ | ρι | ϟα |
| κε | οα | μγ | ο | ξ | ξα | οζ | μγ | ϟδ | κθ | ρια | ϟβ |
| κϛ | ιη | μδ | ϟθ | ξα | οε | οη | ιδ | ϟε | κε | ριβ | ϟζ |
| κζ | ιε | με | ξβ | ξβ | νβ | οθ | νε | ϟϛ | πθ | ριγ | ργ |
| κη | λζ | μϛ | λα | ξγ | ϛ | π | λ | ϟζ | οζ | ριδ | μζ |
| κθ | νϛ | μζ | λγ | ξδ | μβ | πα | ξδ | ϟη | νδ | ριε | ξθ |
| λ | ρβ | | | | | | | | | | |

## Ἀρχὴ τῶν ζητημάτων

ιβ εἰ πλεύσω ἀκινδύνως
ιγ εἰ ἔστιν ὥρα τοῦ ἐπιβαλέσθαι τῷ χρησμῷ
ιδ εἰ στρατεύσομαι
ιε εἰ κοινωνήσω τῷ πράγματι
ιϛ εἰ προκόψω ἐν τιμῇ
ιζ εἰ ἀποδημήσω
ιη εἰ συναλλάξαι συμφέρει μοι
ιθ εἰ εὐτυχής εἰμι
κ εἰ ἀγοράσω τὸ προκείμενον
κα εἰ γαμήσω καὶ συμφέρει μοι

---

18 ρβ] ιβ L ‖ 65 μγ] μδ L ‖ 94 λϛ] λβ ÷ L, ÷ ἢ λϛ mg L ‖
4 κοινωνήσω] κοινωνῶ LM ‖ 5 προκόψω] προκόπτω LM ‖ 6 ἀποδημήσω] ἀποδημῶ LM ‖ 8 scribendum videtur aut εἰ εὐτυχὴς ἔσομαι aut εἰ εὐτυχήσω ‖ 9 ἀγοράσω] ἀγοράζω LM ‖ 10 γαμήσω] γαμῶ LM ‖

Universitäts- und Landesbibliothek Düsseldorf

κβ εἰ ἕξω βλαβῆναι ἐν τῷ πράγματι
κγ εἰ κινηθήσομαι τοῦ τόπου μου
κδ εἰ τέξεταί μου ἡ γυνή
κε εἰ εὑρήσω δανείσασθαι ἄρτι
κς εἰ ἀποδώσω ἃ ὀφείλω
κζ εἰ ἐλεύσεται ὁ ἀπόδημος
κη εἰ δώσω τοὺς λόγους μου ἄρτι
κθ εἰ σωθήσομαι κατηγορούμενος
λ εἰ τὸ γεννώμενον θρέψω
λα εἰ ὑβρισθήσομαι ἐν τῷ πράγματι
λβ εἰ ἀπαλλαγήσομαι τῆς δουλείας
λγ εἰ κληρονομήσω τὸν πατέρα
λδ εἰ κληρονομήσω τὴν μητέρα
λε εἰ ἄρξω ἐν τῷ πράγματι
λς εἰ εὑρήσω τὸν φυγόντα
λζ εἰ ἕξω ἐσχάτην καλήν
λη εἰ κληρονομήσω τὸν φίλον
λθ εἰ ἀγορανομήσω
μ εἰ εὑρήσω τὸ ἀπολόμενον
μα εἰ σοφιστεύσω
μβ εἰ σωθήσομαι ἀσθενῶν
μγ εἰ ἀνοίξω ἐργαστήριον
μδ εἰ ἕξω χρόνον ζωῆς
με εἰ ἐπιτεύξομαι γραμμάτων
μς εἰ καταλλαγήσομαι τοῖς κυρίοις
μζ εἰ τεκνώσω
μη εἰ κληρονομήσω τοὺς γονεῖς
μθ εἰ λήψομαι τὴν φερνήν
ν εἰ παραμενεῖ μοι τὰ ὑπάρχοντα
να εἰ νικήσω ἣν ἔχω δίκην
νβ εἰ κληρονομήσω τὴν γυναῖκα

---

11 ἕξω] ἔχω LM || 12 κινηθήσομαι] κινοῦμαι LM || 13 τέξεται] τίκτει LM || 16 ἐλεύσεται] ἔρχεται LM || 18 σωθήσομαι] σώζομαι LM || 19 θρέψω] τρέφω LM || 20 ὑβρισθήσομαι] ὑβρίζομαι LM || 21 ἀπαλλαγήσομαι] ἀπαλλάττομαι LM || 22 κληρονομήσω] κληρονομῶ LM || 23 κληρονομήσω] κληρονομῶ LM || 26 ἕξω] ἔχω LM || 27 κληρονομήσω] κληρονομῶ LM || 29 εὑρήσω τὸ ἀπολόμενον] τὸ ἀπολόμενον εὑρήσω LM || 33 ἕξω] ἔχω LM || 35 καταλλαγήσομαι] καταλλάσσομαι LM ||

Universitäts- und
Landesbibliothek Düsseldorf

νγ εἰ συκοφαντούμενος σωθήσομαι
νδ εἰ ὁ ἀσθενῶν σωθήσεται
νε εἰ λήψομαι ἣν θέλω γυναῖκα
νς εἰ συνεχόμενος ἀπολυθήσομαι
νζ εἰ πωλήσω τὸν φόρτον
νη εἰ δανείσας οὐκ ἀπολέσω
νθ εἰ ἐκτρώσει μου ἡ γυνή
ξ εἰ οἰκονομήσω
ξα εἰ μισθώσομαι καὶ συμφέρει μοι
ξβ εἰ κληρονομήσω τὸ πρόσωπον
ξγ εἰ νικήσω τὸν ἀντίδικον
ξδ εἰ θεάσομαι θάνατον τέκνου
ξε εἰ στρατηγήσω
ξς εἰ γενήσομαι κληρικός
ξζ εἰ ἐπιτεύξομαι τῆς ἐπικλήσεως
ξη εἰ ἕξω ἐλπίδα πίστεως
ξθ εἰ θεὶς παραβόλιον νικήσω
ο εἰ γαμήσω τὴν φίλην
οα εἰ ἀπολήψομαι τὴν παρακαταθήκην
οβ εἰ λήψομαι ὀψώνιον
ογ εἰ μενῶ ὅπου ὑπάγω
οδ εἰ πωληθήσομαι
οε εἰ ἕξω ὄφελος ἀπὸ τοῦ φίλου
ος εἰ δοθήσεταί μοι ἑτέρῳ συναλλάξαι
οζ εἰ ἀποκαταστήσομαι εἰς τὸν τόπον μου
οη εἰ λήψομαι κομητάτον
οθ εἰ λήψομαι τὸ ἀργύριον
π εἰ ζῇ ὁ ἀπόδημος
πα εἰ κερδανῶ ἀπὸ τοῦ πράγματος
πβ εἰ προσγραφήσεται τὰ ἐμά
πγ εἰ εὑρήσω πωλῆσαι
πδ εἰ δυνήσομαι ἀγοράσαι ὃ ἐνθυμοῦμαι
πε εἰ γενήσομαι βιοπράγος
πς εἰ φυγαδευθήσομαι

48 ἐκτρώσει] ἐκτιτρώσκει LM || 61 λήψομαι] λαμβάνω LM || 71 προσγραφήσεται] προσγράφεται LM ||

πζ εἰ πρεσβεύσω τὰ πρὸς θεόν
πη εἰ γενήσομαι βουλευτής
πθ εἰ λάθος ἔσται μου τῷ δρασμῷ
ϙ εἰ ἀπαλλαγήσομαι τῆς γυναικός
ϙα εἰ πεφαρμάκευμαι
ϙβ εἰ λήψομαι λεγάτον
ϙγ εἰ ὃ ἐπιβάλλομαι ἀπαρτίσω
ϙδ εἰ θεάσομαι τὴν πατρίδα
ϙε εἰ γενήσομαι δεκάπρωτος
ϙς εἰ ἀπαλλαγήσομαι τοῦ κλήρου
ϙζ εἰ παραμενεῖ μοι ἡ γυνή
ϙη εἰ παραμενῶ πρεσβύτερος
ϙθ εἰ ἀγοράσω χωρίον ἢ οἰκίαν
ρ εἰ καταληφθήσομαι μοιχὸς ἄρτι
ρα εἰ γενήσομαι ἐπίσκοπος
ρβ εἰ ἀπαλλαγήσομαι τῆς φίλης
ργ εἰ ὁ συνεχόμενος ἀπολυθήσεται

## Ἀρχὴ τῶν δεκάδων

### δεκὰς α[η]

α οὐχ ἕξεις ἐλπίδα πίστεως
β οὐκ ἐπιτεύξῃ τῆς ἐπικλήσεως ἄρτι
γ κατασταθήσῃ κληρικός, βραδέως δέ
δ στρατηγήσεις καὶ εὐημερήσεις καὶ δοξασθήσῃ
ε ἕξεις θάνατον ἰδεῖν καὶ χαρῆναι ἄρτι
ς νικήσεις. ἀγώνισαι
ζ κληρονομήσεις μετὰ δίκης
η ἐὰν μισθώσῃ, βλαβήσῃ πολύ

86 μου L || 89 καταληφθήσομαι μοιχὸς ἄρτι] καταλαμβάνομαι ἄρτι μοναχός M, καταλαμβάνομαι ἄρτι L || 92 ἀπολυθήσεται] ἀπολύεται LM ||

1, 1 οὐχ ἕξεις] οὐκ ἔχεις LM || 3 κατασταθήσῃ] καθίστασαι LM || 4 στρατηγήσεις καὶ εὐημερήσεις καὶ δοξασθήσῃ] στρατηγεῖς καὶ εὐημερεῖς καὶ δοξάζῃ LM || 5 ἕξεις] ἔχεις LM || 6 νικήσεις] νίκης ἕξεις καὶ νικᾷς L, δίκην ἕξεις καὶ νικᾷς M || 7 κληρονομήσεις μετὰ δίκης] κληρονομεῖς μετὰ δίκης ἄλλην LM || 8 βλαβήσῃ πολύ] βλάπτῃ κατὰ πολύ LM ||

θ οἰκονομήσεις μέν, φθονηθήσῃ δὲ παρ᾽ ὁτουοῦν
ι ἐκτρώσει μετὰ κινδύνου, πλὴν σωθήσεται

δεκὰς $\overline{β}^{η}$

α ἀπαλλαγήσῃ τῆς φίλης σου
β οὐχ ἕξεις τύχην ἐπισκοπεῦσαι. μὴ ἔλπιζε
γ μοιχοῦ γένεσιν ἕξεις σαπράν
δ ἀγοράσεις ὃ θέλεις χωρίον ἢ οἰκίαν
ε παραμενεῖς πρεσβύτερος ἕως θανάτου
ϛ οὐ παραμενεῖ σοι ἡ γυνή. ἄλλην γαμήσεις
ζ ἀπαλλαγήσῃ τοῦ κλήρου θελήσας
η γενήσῃ δεκάπρωτος ταχέως
θ ἕξεις τὴν πατρίδα ἰδεῖν μετὰ χρόνου
ι οὐκ ἀπαρτίσεις ὃ ἐνθυμῇ. μὴ προσδόκα

δεκὰς $\overline{γ}^{η}$

α οὐκ ἐλευθερωθήσῃ ἄρτι
β ὑβρισθήσῃ, οὐ πάνυ δέ. μὴ λυποῦ
γ σωθήσεται τὸ γεννηθὲν μετὰ κόπου
δ οὐ σωθήσῃ τῆς κατηγορίας ἄρτι. μερίμνα
ε δώσεις ἄρτι τοὺς λόγους σου ἐπὶ τὸ συμφέρον
ϛ ἐλεύσεται ὁ ἀπόδημος ὑγιαίνων
ζ ἀποδώσεις ἄρτι ἃ ὀφείλεις καὶ χαρήσῃ
η οὐχ εὑρήσεις ἄρτι δανείσασθαι παρ᾽ οὗ ἐλπίζεις
θ τέξεται καὶ κινδυνεύσει ἕως θανάτου
ι οὐ κινηθήσῃ τοῦ τόπου σου ἄρτι. μὴ φοβοῦ

---

9 οἰκονομήσεις μέν, φθονηθήσῃ] οἰκονομεῖς μὲν φθονῇ LM || 10 ἐκτρώσει] ἐκτιτρώσκει LM || σωθήσεται] σώζεται LM ||

2, 1 ἀπαλλαγήσῃ τῆς φίλης σου] καταλλάσσῃ τῇ γυναικί σου καὶ τῇ φίλῃ σου LM || 2 οὐχ ἕξεις] οὐκ ἔχεις LM || ἐπισκοπεῦσαι] ἐπισκοπῆσαι LM. praeterea vide ne τύχην delendum sit hic et 63, 6 || 3 ἕξεις] ἔχεις LM || σαπράν] καὶ σαπράν LM || 4 ἀγοράσεις] ἀγοράζεις LM || 5 παραμενεῖς] παραμένεις LM || 6 παραμενεῖ σοι] παραμένει σου LM || γαμήσεις] γάμῃ L || 7 ἀπαλλαγήσῃ] ἀπαλλάσσῃ LM || 9 ἔχεις L ||

3, 1 ἐλευθερωθήσῃ] ἐλευθεροῦσαι LM || 2 ὑβρισθήσῃ] ὑβρίζῃ LM || 4 σωθήσῃ] σώζει LM || 7 ἃ] ὃ LM || 9 τέξεται] τίκτει P: πεσεῖται LM || 10 τοῦ τόπου σου ἄρτι] τοῦ τόπου ἄρτι P: ἄρτι τοῦ τόπου LM ||

Universitäts- und Landesbibliothek Düsseldorf

### δεκὰς δ̄η

α οὐχ ἕξεις ἐσχάτην καλήν
β οὐχ εὑρήσεις τὸν φυγόντα νῦν
γ ἄρξεις καὶ εὐημερήσεις
δ κληρονομήσεις τὴν μητέρα
ε κληρονομήσεις τὸν πατέρα
ς οὐκ ἐλευθερωθήσῃ ἄρτι. μὴ προσδόκα
ζ μέχρι λόγων ὑβρισθήσῃ
η τραφήσεται τὸ γεννηθέν
ϑ οὐ σωθήσῃ τῆς κατηγορίας
ι δώσεις τοὺς λόγους σου βραδέως

### δεκὰς ε̄η

α οὐ συμφέρει σοι ἄρτι τεκνῶσαι
β οὐ καταλλαγήσῃ τοῖς κυρίοις νῦν
γ δὸς τὰ γράμματα. ἐπιτεύξῃ
δ ἕξεις χρόνον ζωῆς καλόν
ε ἄνοιξον ἐργαστήριον· ὠφέλιμον γάρ
ς σωθήσῃ τῆς ἀσθενείας, βραδέως δέ
ζ σοφιστεύσεις ἐπὶ ξένης καὶ πλουτήσεις
η οὐχ εὑρήσεις τὸ ἀπολόμενον νῦν
ϑ ἀγορανομήσεις, ἄρτι δὲ οὔ
ι οὐ κληρονομήσεις τὸν φίλον· προλειφθήσῃ γάρ

### δεκὰς ς̄η

α οὐ κληρονομήσεις
β μίσθωσαι· κερδανεῖς γὰρ πολύ
γ οἰκονομήσεις καλῶς καὶ δοξασθήσῃ

---

**4**, 1 in L versuum ordo hic est: 2 3 4 6 7 10 8 1 9 10, ut bis scriptus sit versus decimus, ita: *δώσεις τοὺς λόγους σου μετὰ κόπου πολλοῦ* et *δώσεις τοὺς λόγους βραδέως* || 3 *εὐημερήσεις*] *εὐημερίσεις* LM || 4 5 *κληρονομήσεις*] *κληρονομεῖς* LM || 6 *ἐλευθερωθήσῃ*] *ἐλευθερώσῃ* LM ||

**5**, 2 *τοῖς κυρίοις νῦν* P, *νῦν τοῖς κυρίοις* LM || 3 *ἐπιτεύξῃ*] *ἐπιτυγχάνειν* L, *ἐπιτυγχάνεις* M, *καὶ ἐπιτυγχάνεις* rM || 9 *ἀγορανομήσεις*] *γρ. ἀγρονομήσεις* sec M || 10 *προλειφθήσῃ*] *προσληφθῆ* L, *προσληφθήσῃ* M ||

ξ **6**, 3 *καὶ δοξασθήσῃ* om L ||

δ τῇ ἐρχομένῃ γαστρὶ κρατήσει
ε μὴ δανείσῃς ἐπεὶ ἀπολεῖς
ϛ οὐ πωλήσεις τὸν φόρτον ἄρτι
ζ ἀπολυθήσῃ τῆς συνοχῆς νῦν
η λήψῃ ἣν θέλεις γυναῖκα καὶ μεταμεληθήσῃ
θ ὁ ἀσθενῶν κινδυνεύσει
ι σωθήσῃ τῆς συκοφαντίας διὰ φίλον

δεκὰς ζη

α ἐπιτεύξῃ τῆς ἐπικλήσεως
β οὐ κατασταθήσῃ κληρικός
γ στρατηγήσεις καὶ κινδυνεύσεις
δ οὐχ ἕξεις θάνατον ἰδεῖν νῦν
ε νικήσεις ἄρτι. ἀγωνίζου χαίρων
ϛ κληρονομήσεις, οὐ πάντα δέ
ζ μὴ μισθώσῃ αρτι· οὐ γὰρ συμφέρει σοι
η οἰκονομήσεις νῦν καὶ δοξασθήσῃ
θ οὐκ ἐκτρώσει ἡ γυνή. μὴ φρόντιζε
ι ἐὰν δανείσῃς, ἐπὶ ὑποθήκῃ δάνεισον

δεκὰς ηη

α οὐκ ἀγοράσεις τὸ προκείμενον
β εὐτυχήσεις ἐπ᾽ ἐσχάτων μακρὰν γηράσας
γ συναλλάξας κερδανεῖς πολύ
δ μὴ ἀποδημήσῃς· οὐ γὰρ συμφέρει σοι
ε προκόψεις μετὰ χρόνου καθὼς ἐπιθυμεῖς
ϛ κοινωνήσεις καὶ ἁμαρτήσεις
ζ ἐὰν στρατεύσῃ, μεταμεληθήσῃ
η οὐκ ἔχεις ὥραν τοῦ ἐπερωτῆσαι
θ ἐὰν πλεύσῃς ἄρτι, κινδυνεύσεις
ι ὁ συνεχόμενος χρόνῳ ἀπολυθήσεται

5 δανείσῃς] δανεισθῇς τοῦτο LM || ἀπολεῖς] ἀπόλλῃ LM || 7 τῆς συνοχῆς νῦν P: νῦν τῆς συνοχῆς LM || 10 φίλου] φίλους LM ||

7, 3 στρατηγήσεις] στρατηγήσῃ LM || 4 ἰδεῖς L || 10 ἐπὶ] ἐν LM ||

8, 1 προκείμενον] πρᾶγμα L, ἢ τὸ πρᾶγμα rM || 2 μακρὰν] μικρὸν LM || 5 χρόνον M || 6 κοινωνήσεις καὶ ἁμαρτήσεις] κοινωνεῖς καὶ ἁμαρτάνεις LM ||

### δεκὰς θη

α οὐχ ἁμαρτήσεις. πρέσβευσον
β οὐ φυγαδευθήσῃ, ὑβρισθήσῃ δὲ μετρίως
γ οὐ γενήσῃ ποτὲ βιοπράγος
δ ἀγοράσεις ὃ ἐνθυμῇ καὶ πωλήσεις φυράσας
ε ἐὰν ἄρτι πωλήσῃς, βλαβήσῃ
ϛ οὐ προσγραφήσεται τὰ σά. μὴ φοβοῦ
ζ κερδανεῖς ἀπὸ τοῦ πράγματος ὀλίγον
η οὐ ζῇ ὁ ἀπόδημος· ἐφαρμακεύθη γάρ
ϑ λήψῃ τὸ ἀργύριον κόπῳ πολλῷ
ι λήψῃ κομητάτον ἄρτι

### δεκὰς ιη

α σωθήσεται ἀπὸ τῆς ἀσθενείας ἄρτι
β οὐ σωθήσῃ τῆς συκοφαντίας. περίτρεχε
γ οὐ κληρονομήσεις τὴν γυναῖκα· προτελευτήσεις γάρ
δ μὴ λέγε τὴν δίκην ἄρτι· ἡττηθήσῃ γάρ
ε οὐ παραμενεῖ σοι πάντα τὰ ὑπάρχοντα
ϛ λήψῃ τὴν φερνὴν βραδέως
ζ κληρονομήσεις τοὺς γονεῖς σου, οὐ μόνος δέ
η τεκνώσεις καὶ θρέψεις καὶ θάψεις
ϑ καταλλαγήσῃ τοῖς κυρίοις καμάτῳ
ι δώσεις τὰ γράμματα καὶ ὠφεληθήσῃ

### δεκὰς ιαη

α οὐ κληρονομήσεις τὴν γυναῖκα
β λέγε τὴν δίκην ἄρτι· νικήσεις γάρ
γ παραμενεῖ σοι τὰ ὑπάρχοντα πάντα
δ οὐ λήψῃ τὴν φερνὴν ἄρτι

---

**9,** 1 ἁμαρτήσεις] ἥμαρτες σὺ LM || 6 προσγραφήσεται] προσγράφεται LM ||

**10,** 1 σωθήσεται] σωθήσῃ LM || 2 τῆς] ἀπὸ τῆς LM || 3 οὐ om M || κληρονομεῖς M, κληρονόμης rM || προτελευτήσεις] προτελευτήσει LM || 8 τεκνώσεις] τεκνοποιήσεις LM || 9 καταλλαγήσῃ] διαλλαγήσῃ LM || τοῖς κυρίοις] τῆς κακίας LrM ||

**11,** 3 παραμενεῖ] μενεῖ LM ||



Universitäts- und
Landesbibliothek Düsseldorf

ε κληρονομήσεις τοὺς γονεῖς οὐκ εἰς μακράν
ς τεκνώσεις, λυπηθήσῃ δὲ ἐπ' αὐτοῖς
ζ οὐ καταλλαγήσῃ τοῖς κυρίοις σου νῦν
η οὐκ ἐπιτεύξῃ γραμμάτων ἄρτι
ϑ μεσοχρόνιος εἶ. μὴ λυποῦ, ἀλλ' εὔχου
ι ἀνοίξεις ἐργαστήριον μετὰ μάχης

δεκὰς $\overline{\iota\beta}^{\eta}$

α πεφαρμάκευσαι. σεαυτῷ βοήθει
β οὐκ ἀπαλλαγήσῃ τῆς γυναικὸς ἕως θανάτου
γ λήσεται σου ὁ δρασμὸς νῦν
δ γενήσῃ βουλευτής, ἄρτι δὲ οὔ
ε οὐ πρεσβεύσεις μόνος. μὴ ἔλπιζε
ς οὐ φυγαδευθήσῃ. μὴ φοβοῦ
ζ οὐ γενήσῃ βιοπράγος τελείως
η οὐκ ἀγοράσεις ἄρτι ὃ ἐνθυμῇ
ϑ πωλήσεις πλὴν ἐπὶ βλάβῃ
ι οὐ προσγραφήσεται τὰ σά. μὴ φοβοῦ

δεκὰς $\overline{\iota\gamma}^{\eta}$

α ἀλάθητος ἔσται σου ὁ δρασμός
β γενήσῃ βουλευτὴς μετὰ δανείου
γ πρεσβεύσεις μόνος καὶ ὠφεληθήσῃ
δ φυγαδευθήσῃ πρὸς χρόνον καὶ κερδανεῖς
ε οὐ γενήσῃ βιοπράγος
ς οὐκ ἀγοράσεις ἄρτι. μὴ ἐνθυμοῦ
ζ οὐχ εὑρήσεις ἄρτι πωλῆσαι
η οὐ προσγραφήσεται ἄρτι τὰ σά. μὴ ἀγωνία
ϑ κερδανεῖς ἀπὸ τοῦ πράγματος ὀλίγον
ι ζῇ ὁ ἀπόδημος καὶ ὑγιαίνει, χρονίσει δέ

---

6 τεκνώσεις] οὐ τεκνοῖς L rM, εὐτεκνοῖς M || λυπηθήσῃ] λυπῇ LM || αὐτῆς M || 7 καταλλαγήσῃ] διαλλαγήσῃ LM || 8 ἄρτι] νῦν L || 9 εἶ] ἔσῃ? || 10 μετὰ μάχης] ἢ μετὰ χάριτος rM ||

**12**, 3 λήσεται] λανθάνει LM || 4 ἄρτι δὲ οὔ P: οὐκ ἄρτι δέ LM || 5 οὐ P: ἐὰν LM, ἢ οὐ rM || πρεσβεύσεις] πρεσβεύῃς LM || 10 προσγραφήσεται] προσγράφεται LM ||

**13**, 3 ὠφεληθήσῃ] ὠφελήσεις LM || 8 προσγραφήσεται] προσγράφεται LM || 10 δή L ||

### δεκὰς ιδ̄η

α οὐκ ἀποκατασταθήσῃ εἰς τὸν τόπον σου
β οὐ δοθήσεταί σοι συναλλάξαι ἑτέρῳ
γ ὠφεληθήσῃ ἀπὸ τοῦ πράγματος τοῦ φίλου σου
δ πωληθήσῃ μέν, ἄρτι δὲ οὔ
ε οὐ μενεῖς ὅπου ὑπάγεις
ς λήψῃ ὀφώνιον, ἄρτι δὲ οὔ
ζ ἀπολήψῃ τὴν παρακαταθήκην
η ἐὰν γήμῃς τὴν φίλην, βλαβήσῃ
ϑ ϑὲς παραβόλιον· νικήσεις γάρ
ι οὐχ ἕξεις ἐλπίδα πίστεως

### δεκὰς ιε̄η

α οὐκ ἀποδώσεις ἃ ὀφείλεις
β οὐ δανείσῃ ἐπὶ ὑποθήκῃ
γ τέξεται καὶ τὸ γεννώμενον σωθήσεται
δ κινηθήσῃ τοῦ τόπου σου ἐπὶ τὸ χεῖρον
ε βλαβήσῃ, ὀλίγον δέ
ς γαμήσεις μέν, λύσεις δὲ τὸν γάμον
ζ ἀγοράσεις τὸ προκείμενον καὶ βλαβήσῃ
η ὀψίτυχος εἶ. μὴ ἀγωνία
ϑ συναλλάξεις ταχέως καὶ κερδανεῖς
ι ἀποδημήσεις ἐξαπίνης ἐπὶ καλῷ

### δεκὰς ις̄η

α οὐχ ἕξεις γένεσιν ἐπισκόπου
β καταληφθήσῃ ἐπὶ μοιχείᾳ νῦν
γ ἀγοράσεις ἀγρὸν ὃν ϑέλεις ἢ οἰκίαν
δ παραμενεῖς πρεσβύτερος ἕως γήρως
ε οὐ παραμενεῖ σοι ἡ γυνή· μοιχευθήσεται γάρ

---

14, 1 οὐκ — σου] ἢ οὐκ ἀφίστασαι ἐκ τοῦ τόπου rM || 2 ἑτερ´ L || 4 πωληθήσῃ] πωλήσεις LM ||

15, 4 τοῦ] ἐκ τοῦ LM || 8 εἶ] an ἔσῃ? || 10 ἀποδημήσεις] ἀποδημήσης LM || ἐξαπίνης P: ἐπὶ ξένης LM, ἢ γρ. ἐξαπίνης rM ||

16, 5 γυνή] γυνή σου LM ||

Universitäts- und
Landesbibliothek Düsseldorf

ϛ ἀπαλλαγήσῃ τοῦ κλήρου μετὰ μάχης
ζ γενήσῃ δεκάπρωτος ταχέως
η ἕξεις τὴν πατρίδα ἰδεῖν ἐπὶ καλῷ
ϑ ἀπαρτίσεις ὃ ἐπιβάλλῃ ταχέως
ι οὐ λήψῃ λεγάτον· διαβληθήσῃ γάρ

δεκὰς $\overline{\iota\zeta}^{\eta}$

α οὐκ ἀπολήψῃ τὴν παρακαταθήκην
β οὐ γαμήσεις τὴν φίλην· πεπόρνευκε γάρ
γ μὴ θῇς παραβόλιον· νικηθήσῃ γάρ
δ ἕξεις ἐλπίδα πίστεως καλήν
ε ἐπιτεύξῃ τῆς ἐπικλήσεως
ϛ κατασταθήσῃ κληρικός
ζ οὐ συμφέρει σοι στρατηγῆσαι
η ὄψει θάνατον ἐπικερδῆ
ϑ νικήσεις. ἀγωνίζου ἕως τέλους
ι κληρονομήσεις ταχέως

δεκὰς $\overline{\iota\eta}^{\eta}$

α οὐχ εὑρήσεις δανείσασθαι
β τέξεται καλὸν καὶ καλῶς
γ οὐ κινηθήσῃ τοῦ τόπου σου ἄρτι
δ οὐ βλαβήσῃ. μὴ ἀγωνία
ε γαμήσεις καὶ λύσεις τὸν γάμον ζηλοτυπήσας
ϛ ἀγοράσεις τὸ προκείμενον ἐν τάχει
ζ εὐτυχήσεις ἐξ ἰδίων κόπων
η οὐ συναλλάξεις ἄρτι οὐδενί
ϑ οὐκ ἀποδημήσεις νῦν. περίμεινον
ι προκόψεις ἐπὶ καλῷ καὶ δοξασθήσῃ

δεκὰς $\overline{\iota\vartheta}^{\eta}$

α οὐ προκόψεις ἄρτι
β κοινωνήσεις καλῶς καὶ ὠφεληθήσῃ

9 ἐπιβάλλῃ] ἐπιβάλληται L || 10 διαβληθήσῃ] διαβληθεὶς rM ||
**17,** 2 γαμήσεις] γήμῃς LM || 8 ἐπικερδῆ] ἐπὶ κέρδει LM || 9 νικήσεις] νικήσῃς LM ||
**18,** 3 τοῦ] ἀπὸ τοῦ LM || 5 γαμήσεις] γήμῃς LM ||
**19,** 2 κοινωνήσῃς M |

Universitäts- und
Landesbibliothek Düsseldorf

γ στρατεύσῃ μετὰ κόπου καὶ μεταμεληθήσῃ
δ μὴ ἐρώτα. ἐναντία ἐστὶν ἡ ἡμέρα
ε πλεύσεις μετὰ τὸ ἐγκοπῆναι
ϛ ὁ συνεχόμενος ἀπολυθήσεται τῆς συνοχῆς
ζ ἀπαλλαγήσῃ τῆς φίλης μετὰ βίας
η γενήσῃ ἐπίσκοπος καὶ ὠφεληθήσῃ
ϑ καταληφθήσῃ ἐπὶ μοιχείᾳ. πρόσεχε
ι οὐκ ἀγοράσεις τὸ κτῆμα νῦν

δεκὰς κ̄η

α οὐ πλεύσεις καλῶς
β ὁ συνεχόμενος ἀπολυθήσεται
γ ἀπαλλαγήσῃ τῆς φίλης ὅτε οὐκ ἐλπίζεις
δ γενήσῃ ἐπίσκοπος ὅτε οὐκ ἐλπίζεις
ε καταληφθήσῃ ἐπὶ μοιχείᾳ νῦν
ϛ οὐκ ἀγοράσεις χωρίον νῦν
ζ παραμενεῖς πρεσβύτερος ἕως γήρως
η οὐ παραμενεῖ σοι ἡ γυνή. γαμηθήσεται ἑτέρῳ
ϑ ἀπαλλαγήσῃ τοῦ κλήρου καὶ ὠφεληθήσῃ πολύ
ι γενήσῃ δεκάπρωτος ὅτε οὐκ οἶδας

δεκὰς καη

α οὐχ εὑρήσεις τὸ ἀπολόμενον
β οὐκ ἀγορανομήσεις ἄρτι. περίμεινον
γ κληρονομήσεις τὸν φίλον μετὰ δίκης
δ οὐχ ἕξεις ἐσχάτην καλήν. ἐπαιτῆσαί σοι ἀπόκειται
ε οὐχ εὑρήσεις τὸν φυγόντα νῦν, μετὰ χρόνου δέ

---

4 μή — ἡμέρα] εἰς ἄλλο γρ. ἐργάζου μετὰ προθυμίας ἀγαθόν rM || 7 ἀπαλλαγήσῃ τῆς φίλης] καταλλαγήσῃ τῇ γυναικὶ LM || βίας] ἢ ζημίας rM || 9 καταληφθείσῃ M ||

**20,** 3 ἀπαλλαγήσῃ τῆς φίλης ὅτε] καταλλαγήσῃ τῇ γυναικὶ ὡς LV. sed fortasse verba ὡς οὐκ ἐλπίζεις ex sequenti versu huc illata sunt || 4 ὅτε] ὡς M. in L hic versus omittitur || 5 ε] δ L || καταληφθήσῃ] καταλαμβάνῃ LM || 6 ϛ] ε L || χωρίον] fortasse χωρίον ἢ οἰκίαν || 7 ζ] ϛ L || παραμενεῖς πρεσβύτερος] παραμενεῖς εἰς πρεσβύτερον M, παραμενεῖ σοι ἡ γυνή L. post hunc versum in L est ζ γενήσῃ ἐπίσκοπος ὡς οὐκ ἐλπίζεις || 8 γυνή] φίλη L || γαμηθήσεται] γαμεῖται LM || 9 τοῦ κλήρου] κλήρου M, τῆς φίλης L || 10 ὅτε] ὡς LM ||

**21,** 2 ἀγορανομήσεις] ἀγρομονῆς rM || 4 σοι] σε LM || 5 χρόνον M ||

ϛ ἄρξεις καὶ εὐδοκιμήσεις καὶ δοξασθήσῃ
ζ κληρονομήσεις τὴν μητέρα ἐξ ἡμισείας
η οὐ κληρονομήσεις τὸν πατέρα· προτελευτήσεις γάρ
ϑ οὐκ ἐλευθερωθήσῃ νῦν, ἀλλὰ μετὰ χρόνον
ι ὑβρισθήσῃ μετὰ ταῦτα, ἄρτι δὲ οὔ

δεκὰς $\overline{κβ}^{η}$

α λήψῃ ὀψώνιον
β οὐκ ἀπολήψῃ τὴν παρακαταθήκην
γ οὐ δυνήσῃ γῆμαι τὴν φίλην
δ θὲς παραβόλιον· νικήσεις γάρ
ε ἕξεις ἐλπίδα πίστεως καλήν
ϛ ἐπιτεύξῃ τῆς ἐπικλήσεως
ζ κατασταθήσῃ κληρικός, βραδέως δέ
η στρατηγήσεις καὶ εὐημερήσεις καὶ δοξασθήσῃ
ϑ θεάσῃ δύο θανάτους ἀκερδεῖς
ι οὐ νικήσεις τέως. μὴ φρόντιζε

δεκὰς $\overline{κγ}^{η}$

α οὐ δυνήσῃ σοφιστεῦσαι
β οὐχ εὑρήσεις τὸ ἀπολόμενον ἄρτι
γ ἀγορανομήσεις ἄρτι
δ οὐ κληρονομήσεις τὸν φίλον. μὴ ἔλπιζε
ε ἕξεις ἐσχάτην καλήν
ϛ οὐχ εὑρήσεις τὸν φυγόντα· ἔπλευσε γάρ
ζ ἄρχοντος γένεσιν ἕξεις
η οὐ κληρονομήσεις τὴν μητέρα· προτελευτήσεις γάρ
ϑ κληρονομήσεις τὸν πατέρα τρίτην μοῖραν
ι οὐκ ἐλευθερωθήσῃ. σιώπα

δεκὰς $\overline{κδ}^{η}$

α βλαβήσῃ μεγάλως
β γαμήσεις καὶ μεταμεληθήσῃ μηδὲν ὠφελῶν

8 γάρ om M ||
23, 4 κληρονομεῖς M || 8 γάρ om M ||
24, 2 γαμήσεις] γήμῃς LM ||

γ ἀγοράσεις τὸ προκείμενον, ἐὰν θέλῃς
δ εὐτυχήσεις ἐξ ἀλλοτρίων κληρονομήσας
ε συναλλάξεις καὶ ὠφεληθήσῃ πολλά
ς ἀποδημήσεις καὶ μεταμεληθήσῃ
ζ προκόψεις ἐξ ἀνελπίστων
η οὐ συμφέρει σοι κοινωνῆσαι· ζημιωθήσῃ γάρ
ϑ στρατεύσῃ καὶ ταχὺ προκόψεις
ι σήμερον καρτέρησον καὶ αὔριον ἐρώτησον

## δεκὰς $\overline{κε}^{η}$

α οὐχ ἕξεις τὴν πατρίδα ἰδεῖν
β οὐκ ἀπαρτίσεις ὃ ἐπιβάλλῃ
γ λήψῃ λεγάτον, ὀλίγον δέ
δ οὐ πεφαρμάκευσαι, ἀλλὰ μεμάγευσαι
ε ἀπαλλαγήσῃ τῆς γυναικὸς γελώμενος
ς λήσεταί σου ὁ δρασμὸς πρὸς ὀλίγον
ζ γενήσῃ βουλευτὴς καὶ φυρατής
η πρεσβεύσεις καὶ εὐημερήσεις, ἐὰν σπεύσῃς
ϑ οὐ φυγαδευθήσῃ τὸ σύνολον. μὴ φοβοῦ
ι γενήσῃ βιοπράγος καὶ δοξασθήσῃ

## δεκὰς $\overline{κϛ}^{η}$

α ἀγοράσεις ὃ ἐνθυμῇ
β οὐχ εὑρήσεις ἄρτι πωλῆσαι καὶ κερδᾶναι
γ οὐ προσγραφήσεται τὰ σά. μὴ μερίμνα
δ κερδανεῖς ὀλίγον ἀπὸ τοῦ πράγματος
ε ζῇ ὁ ἀπόδημος καὶ ἔρχεται. μὴ ἀγωνία
ς λήψῃ τὸ ἀργύριον βραδέως
ζ οὐ λήψῃ ἀρτίως κομητάτον
η ἀποκατασταθήσῃ εἰς τὸν τόπον σου
ϑ μὴ συναλλάξῃς ἄρτι· βλαβήσῃ γάρ
ι οὐχ ἕξεις ὠφέλειαν ἀπὸ τοῦ φίλου σου

3 ἐὰν θέλῃς P: ὃ θέλεις LM, ἢ ἐὰν θέλεις rM || 8 ζημιωθήσῃ] ζημιοῦσαι LM || 10 σήμερον — ἐρώτησον] εἰς ἄλλο γρ. οὐκ ἔχεις ἐργασίαν rM ||

**25,** 2 ἐπιβάλλῃ] ἐπιβάλλει P, ἐπιβάλλεις LM || 9 τὸ σύνολον μὴ φοβοῦ] μὴ φοβοῦ τὸ σύνολον LM ||

**26,** 3 προσγραφήσεται] προσγράφεται LM || 8 ἀποκαθίστασαι M || 9 συναναλλάξεις M ||

δεκὰς κζ$^{η}$

α οὐ κινηθήσῃ τοῦ τόπου σου
β οὐ βλαβήσῃ. μὴ ἀγωνία, ἀλλ' εὔχου
γ γαμήσεις ἣν οἶδας, εἰ θέλεις, ταχέως
δ ἀγοράσεις τὸ προκείμενον μετὰ κόπου
ε εὐτυχήσεις ἐξ ἰδίων κόπων
ς συναλλάξεις ἄρτι καὶ κερδανεῖς πολύ
ζ ἀποδημήσεις μακράν
η προκόψεις ἐξαπίνης ὅτε οὐκ οἶδας
ϑ μὴ κοινώνει. οὐ συμφέρει σοι
ι στρατεύσῃ, ἄρτι δὲ οὔ

δεκὰς κη$^{η}$

α πλεύσεις καλῶς καὶ περιχαρῶς
β ἀπολυθήσεται ὁ συνεχόμενος μετὰ κόπου
γ ἀπαλλαγήσῃ τῆς φίλης σου
δ γενήσῃ ἐπίσκοπος κοπιάσας πολλά
ε οὐ καταληφθήσῃ μοιχός. μὴ ἀγωνία
ς ἀγοράσεις χωρίον ἢ οἰκίαν
ζ οὐ παραμενεῖς πρεσβύτερος
η παραμενεῖ σοι ἡ γυνή, ἐὰν θέλῃς
ϑ οὐκ ἀπαλλαγήσῃ τοῦ κλήρου ἕως θανάτου
ι γενήσῃ δεκάπρωτος

δεκὰς κθ$^{η}$

α ἀπαρτίσεις ὃ ἐπιβάλλῃ
β οὐ λήψῃ λεγάτον ὅλως
γ οὐ πεφαρμάκευσαι. μὴ ἀγωνία
δ οὐκ ἀπαλλαγήσῃ τῆς γυναικός

---

**27,** 1 τοῦ] ἐκ τοῦ LM || 3 γαμήσεις — θέλεις ταχέως] γήμης — θέλεις ταχέως M, γήμης — θέλοις ταχέως L, γρ. γαμῆσαι θέλεις ταχέως rM || 7 ἀποδημήσεις] γρ. οὐκ ἀποδημήσεις rM ||

**28,** 1 καὶ περιχαρῶς om L || 2 ἀπολυθήσεται] ἀπολύεται LM || 3 ἀπαλλαγήσῃ τῆς φίλης] καταλλαγήσῃ τῇ φίλῃ LM, γρ. καὶ μετανοεῖς rM || 9 οὐκ ἀπαλλαγήσῃ] γρ. οὐ καταλλάσῃ rM ||

**29,** 4 οὐκ ἀπαλλαγήσῃ τῆς γυναικός] οὐ καταλλαγήσῃ τῇ γυναικί LM ||

Universitäts- und
Landesbibliothek Düsseldorf

ε οὐ λήσεται σου ὁ δρασμός
ϛ γενήσῃ βουλευτής, ἄρτι δὲ οὔ
ζ πρεσβεύσεις, οὐ μόνος δέ
η οὐ φυγαδευθήσῃ. μὴ ἀγωνία
ϑ γενήσῃ βιοπράγος ἐξαπίνης
ι ἀγοράσεις ὃ ἐνθυμῇ, ἐὰν θέλῃς

δεκὰς λ̅ η

α οὐ λήψῃ ἄρτι τὸ ἀργύριον
β λήψῃ κομητάτον κόπῳ πολλῷ
γ ἀποκατασταθήσῃ εἰς τὸν τόπον σου
δ οὐ δυνήσῃ ἑτέρῳ συναλλάξαι
ε οὐκ ὠφεληθήσῃ ἀπὸ τοῦ φίλου οὐδέν
ϛ οὐ πωληθήσῃ ἄρτι· οὐ γὰρ συμφέρει σοι
ζ οὐ μενεῖς, ἀλλ' ἀπέρχῃ
η οὐ λήψῃ ὀψώνιον
ϑ οὐκ ἀπολήψῃ τὴν παρακαταθήκην
ι γαμήσεις τὴν φίλην καὶ βλαβήσῃ

δεκὰς λα η

α κενῶς ἐπιτεύξῃ γραμμάτων
β οὐχ ἕξεις χρόνον ζωῆς πολύν
γ ἀνοίξεις ἐργαστήριον βραδέως
δ σωθήσῃ τῆς ἀσθενείας εἰ προσέξεις
ε σοφιστεύσεις ἐξαπίνης
ϛ οὐχ εὑρήσεις τὸ ἀπολόμενον
ζ ἀγορανομήσεις καὶ ὠφεληθήσῃ
η οὐ κληρονομήσεις τὸν φίλον. μὴ προσδόκα
ϑ ἕξεις ἐσχάτην καλήν
ι εὑρήσεις ἄρτι τὸν φυγόντα

---

5 λήσεται] λανθάνει LM ||

**30,** 2 λήψῃ] λαμβάνεις M, γρ. λήψῃ rM || κόπῳ πολλῷ] πολὺ rM || 6 οὐ] μὴ M || πωληθήσῃ] πωλήσεις LM || 7 οὐ — ἀπέρχῃ] γρ. ὅπου ἀπέρχῃ οὐ μενεῖς rM. scribendum videtur οὐ μενεῖς ὅπου ὑπάγεις || 10 γαμήσεις] γήμῃς LM ||

**31,** 1 ἐπιτεύξῃ γραμμάτων] γρ. ἀποδίδως τὰ γράμματα rM ||



Universitäts- und
Landesbibliothek Düsseldorf

### δεκὰς λβη

α οὐ καταληφθήσῃ ἐπὶ μοιχείᾳ
β οὐκ ἀγοράσεις χωρίον ἢ οἰκίαν
γ οὐ παραμενεῖς πρεσβύτερος
δ οὐ παραμενεῖ σοι ἡ πρώτη γυνή
ε ἀπαλλαγήσῃ τοῦ κλήρου
ς οὐ γενήσῃ δεκάπρωτος ἄρτι
ζ οὐ δυνήσῃ ἄρτι τὴν πατρίδα ἰδεῖν
η οὐκ ἀπαρτίσεις ὃ ἐπιβάλλῃ
ϑ οὐ λήψῃ λεγάτον. μὴ προσδόκα
ι πεφαρμάκευσαι. σεαυτῷ βοήθει

### δεκὰς λγη

α οὐ καταλλαγήσῃ τοῖς κυρίοις
β μὴ δῷς τὰ γράμματα ἄρτι
γ ἕξεις χρόνον ζωῆς, πλὴν ἀλγήσεις τοὺς πόδας
δ οὐκ ἀνοίξεις ἐργαστήριον ἄρτι
ε σωθήσῃ τῆς ἀσθενείας· ἀνεκλήθης γάρ
ς σοφιστεύσεις ἐν τῇ πατρίδι σου
ζ οὐχ εὑρήσεις τὸ ἀπολόμενον
η οὐκ ἀγορανομήσεις ἄρτι
ϑ οὐ κληρονομήσεις τὸν φίλον. χλευάζῃ
ι οὐχ ἕξεις ἐσχάτην καλήν· ἐπαιτήσεις γάρ

### δεκὰς λδη

α ὑβρισθήσῃ δεινῶς
β θρέψεις τὸ γεννηθέν
γ σωθήσῃ τῆς κατηγορίας
δ δώσεις τοὺς λόγους σου. μὴ ἀγωνία
ε οὐκ ἐλεύσεται ὁ ἀπόδημος· ἔγημε γάρ

---

**32,** 2 *χωρίον ἢ* om M; *ἢ χωρίον* in margine supplevit rM ||

**33,** 1 *καταλλαγήσῃ*] *διαλλαγήσῃ* LM || 2 *δῷς*] *δώῃς* LM || 5 *ἀνεκλήθης*] *ἀνεκλίθης* LM || 6 *σοφιστεύσεις*] *οὐ σοφιστεύσεις* LM, *γρ. σοφιστεύσεις* rM || 8 *οὐκ — ἄρτι*] *γρ. ἐβρώβη οὐκ ἀγρονομεῖς ἄρτι* rM ||

ς οὐκ ἀποδώσεις ἃ ὀφείλεις
ζ δανείσῃ καὶ εὐθὺς αὐτὰ δαπανήσεις
η τέξεται μετὰ κινδύνου κόρην
ϑ κινηϑήσῃ τοῦ τόπου σου. ἐπισκεύαζου
ι οὐ βλαβήσῃ. μὴ ἀγωνία

δεκὰς λε̅η

α οὐκ εἶ εὐτυχής
β συναλλάξεις ἐξαπίνης καὶ κερδανεῖς
γ οὐκ ἀποδημήσεις μακράν
δ προκόψεις ταχέως ἐπὶ καλῷ
ε μὴ κοινώνει. οὐ συμφέρει σοι
ς ἐὰν στρατεύσῃ, μεταμεληϑήσῃ
ζ οὐκ ἔστιν ὥρα. ἔασον ἄρτι
η μὴ πλεύσῃς ἄρτι· ναυαγήσεις γάρ
ϑ ὁ συνεχόμενος ταχέως ἀπολυϑήσεται
ι οὐκ ἀπαλλαγήσῃ τῆς φίλης σου

δεκὰς λς̅η

α * *
β μὴ πλεύσῃς, προλέγω σοι
γ ὁ συνεχόμενος ἀπολυϑήσεται
δ οὐκ ἀπαλλαγήσῃ τῆς φίλης σου
ε οὐ γενήσῃ ἐπίσκοπος. μὴ προσδόκα
ς οὐ καταληφϑήσῃ μοιχὸς τέως
ζ ἀγοράσεις τὸ κτῆμα καὶ οὐ παραμενεῖ σοι
η παραμενεῖς πρεσβύτερος
ϑ οὐ παραμενεῖ σοι ἡ γυνή
ι οὐκ ἀπαλλαγήσῃ τοῦ κλήρου

---

**34,** 7 *δανείσῃ*] *δανεισϑήσῃ* M, *δανείσεις* LrM || 9 *τοῦ*] *ἐκ τοῦ* LM ||

**35,** 1 malim *οὐκ ἔσῃ εὐτυχής* vel *οὐκ εὐτυχήσεις* || 7 *οὐκ — ἄρτι*] *γρ. οὐκ ἔχεις ἐργασίαν καλήν* rM || 9 *ἀπολυϑήσεται*] *ἀπολύεται* LM || 10 *οὐκ ἀπαλλαγήσῃ τῆς φίλης σου*] *οὐ καταλλαγήσῃ τῇ φίλῃ σου* LM, *οὐ συναλλάσσῃ τῇ γυναικί* rM ||

**36,** 1 * *] *οὐκ ἔχεις ὄφελος ἀπὸ τοῦ φίλου σου* LM. debebat responderi ad quaestionem 13 || 2 *πλεύσῃς*] *πλεύσεις* LM || 4 *ἀπαλλαγήσῃ*] *ἀπαλλάσσῃ* LM || 10 *οὐκ — κλήρῳ*] *γρ. οὐ καταλλάσσῃ τῷ κλήρῳ* rM ||

Universitäts- und
Landesbibliothek Düsseldorf

δεκὰς λζη

α οὐκ ἐλεύσεται ὁ ἀπόδημος
β ἀποδώσεις ἄρτι ἃ ὀφείλεις
γ δανείσῃ καὶ βλαβήσῃ· οὐ μενεῖ γάρ
δ τέξεται μετὰ κινδύνου ἄρρεν
ε οὐ κινηθήσῃ τοῦ τόπου σου τέως
ϛ οὐ βλαβήσῃ. μὴ ἀγωνία
ζ γαμήσεις τὴν ἐκ συνηθείας καθ' ἡμέραν
η ἀγοράσεις τὸ προκείμενον καμάτῳ
ϑ εὐτυχήσεις ἐφ' ἑκάστῳ
ι συναλλάξεις καὶ πραγματεύσῃ

δεκὰς ληη

α σωθήσεται τὸ γεννώμενον ἐπὶ καλῷ
β οὐ σωθήσῃ τῆς κατηγορίας· προελήφθης γάρ
γ δώσεις ἄρτι τοὺς λόγους σου ἐπὶ καλῷ
δ οὐκ ἐλεύσεται ἄρτι ὁ ἀποδημῶν. μὴ προσδόκα
ε ἀποδώσεις ἄρτι ἃ ὀφείλεις καὶ χαρήσῃ
ϛ οὐ δεῖ σε δανείσασθαι ἄρτι. περίμεινον
ζ τέξεται ταχυθάνατον θῆλυ
η κινηθήσῃ τοῦ τόπου σου ταχὺ ἐπὶ τὸ κρεῖττον
ϑ βλαβῆναι ἕξεις ἐν πρώτοις, ἐν δὲ τῷ τέλει κερδανεῖς
ι βλαβήσῃ ἐπὶ τῷ πρώτῳ γάμῳ. μακροθύμησον

δεκὰς λθη

α εἰπὲ τὴν δίκην
β οὐ παραμενεῖ σοι τὰ ὑπάρχοντα
γ οὐ λήψῃ τὴν φερνήν, ἐὰν μὴ δικάσῃ
δ κληρονομήσεις τοὺς γονεῖς μόνος

---

**37,** 1 ἐλεύσεται] ἔρχεται LM || 3 μενεῖ] μένει LM || 5 τοῦ] ἐκ τοῦ LM || 7 γαμήσεις] γήμης LM || 10 συναλλάξεις] συναλλάξῃ LM ||

**38,** 1 σωθήσεται τὸ γεννώμενον] τὸ γεννώμενον σωθήσεται LM || 2 προελήφθη L || 3 δώσεις] ἀποδώσεις M || σου addidi || 4 ἐλεύσεται] ἔρχεται LM || 5 χαρήσῃ] χαίρεις M || 6 δανείσασθαι] δανείζει P: δανεισθῆναι LM || 8 τοῦ] ἐκ τοῦ LM || 9 τέλει] τε L || 10 μακροθύμησον] μακροθυμῆσ L, μακροθυμῆσαι M ||

ε τεκνώσεις ταχέως καὶ λυπηθήσῃ ἐπ' αὐτοῖς
ϛ οὐ καταλλαγήσῃ τοῖς κυρίοις σου νῦν· οὐ γὰρ συμφέρει
ζ δώσεις τὰ γράμματα ταχέως
η ἕξεις χρόνον ζωῆς καὶ πλοῦτον, εἶτα ἐπαιτήσεις
ϑ οὐκ ἀνοίξεις ἐργαστήριον νῦν. περίμεινον
ι σωθήσῃ τῆς ἀσθενείας ταχέως. μόνον εὐθύμει

### δεκὰς μη

α οὐκ ἀγορανομήσεις
β οὐ κληρονομήσεις τὸν φίλον. μὴ ἔλπιζε
γ ἕξεις ἐσχάτην καλήν, ὀλίγην δέ
δ οὐχ εὑρήσεις τὸν φυγόντα νῦν
ε ἕξεις γένεσιν ἄρχοντος καλήν
ϛ κληρονομήσεις τὴν μητέρα νῦν
ζ οὐ κληρονομήσεις τὸν πατέρα ποτέ
η ἐλευθερωθήσῃ μετὰ λεγάτου καλοῦ
ϑ οὐχ ὑβρισθήσῃ τὸ σύνολον. μὴ ἀγωνία
ι σωθήσεται τὸ γεννηθὲν καὶ ταχὺ αὐξανεῖ

### δεκὰς μα

α οὐ παραμενεῖ σοι τὰ ὑπάρχοντα
β οὐ λήψῃ τὴν φερνήν, εἰ μὴ δικάσῃ
γ οὐ κληρονομήσεις τοὺς γονεῖς· προτελευτήσεις γάρ
δ οὐ τεκνώσεις ἐξ αὐτῆς. μὴ προσδόκα
ε καταλλαγήσῃ τοῖς κυρίοις βραδέως
ϛ οὐ δώσεις ἄρτι τὰ γράμματα καὶ συμφέρει
ζ μετὰ χρόνου εὐτυχήσεις καὶ γηράσεις
η ἀνοίξεις ἐργαστήριον καὶ πλουτήσεις
ϑ οὐ σωθήσῃ τῆς ἀρρωστίας σου
ι οὐ σοφιστεύσεις. ἄλλο τι πρᾶττε

---

**39,** 8 *εἶτα*] *εἴσεται* M ||

**40,** 3 *ἕξεις ἐσχάτην καλήν*] *ἐσχάτην καλὴν ἕξεις* L, *ἐσχάτην καλὴν ἕχεις* M || *ὀλίγην δέ*] verba corrupta || 5 *ἕξεις γένεσιν ἄρχοντος καλήν*] *γρ. ἄρχοντος γέννησιν ἔχεις καλήν* rM, *γένεσιν καλὴν ἀρξάμενος ἔχεις* LM || 8 *μετὰ λεγάτου καλοῦ*] *μετ' ὀλίγον τοῦ κακοῦ* rM || 10 *αὐξανεῖ*] *αὔξεται* L ||

**41,** 1 *παραμενεῖ*] *μενεῖ* LM || 4 *ἐξ αὐτῆς*] verba suspecta ||

Universitäts- und
Landesbibliothek Düsseldorf

δεκὰς μβ$^{η}$

α οὐ νικήσεις. σιώπα
β κληρονομήσεις ὅτε οὐκ ἐλπίζεις
γ μὴ μισθώσῃ ἄρτι. περίμεινον, μὴ σπεῦδε
δ οἰκονομήσεις καὶ κατηγορηθήσῃ παρὰ πολλῶν
ε οὐκ ἐκτρώσει ἡ γυνή σου. χαῖρε
ς μὴ δανείσῃς· βραδέως γὰρ ἀπολήψῃ
ζ πωλήσεις τὸν φόρτον καὶ κερδανεῖς
η οὐκ ἀπολυθήσῃ τῆς συνοχῆς· μακροθύμει
ϑ λήψῃ ἣν θέλεις γυναῖκα καὶ πλουτήσεις
ι ὁ ἀσθενῶν μακρονοσήσας ὑγιανεῖ

δεκὰς μγ$^{η}$

α οὐ δέδοταί σοι συναλλάξαι
β ὠφεληθήσῃ ἀπὸ τοῦ φίλου σου ὀλίγον
γ πωληθήσῃ καὶ μεταμεληθήσῃ μηδὲν ὠφελῶν
δ οὐ μενεῖς ὅπου ὑπάγεις· οὐ γὰρ συμφέρει
ε λήψῃ ὀψώνιον μερικόν
ς οὐκ ἀπολήψῃ τὴν παρακαταθήκην
ζ οὐ συμφέρει σοι γῆμαι τὴν φίλην
η μὴ θῇς παραβόλιον· νικηθήσῃ γάρ
ϑ ἕξεις ἐλπίδα πίστεως πάνυ καλήν
ι οὐκ ἐπιτεύξῃ τῆς ἐπικλήσεως νῦν

δεκὰς μδ$^{η}$

α οὐ δοθήσεταί σοι στρατεύσασθαι
β ἐπερώτησον καὶ ἀκούσῃ τὴν ἀλήθειαν
γ πλεύσεις καὶ χειμασθήσῃ ἐξαπίνης

---

**42**, 2 ὅτε P: ὃ LM || 3 μισθώσῃ] μισθοῦσαι LM || περίμεινον] μεῖνον LM || 5 ἐκτρώσει] ἐκτιτρώσκει LM || 9 ἣν] ὡς LM || 10 μακρονοσήσας ὑγιανεῖ] μακρονοση$^{σ}$ καὶ οὐχ ὑγιανεῖ LM, γρ. μακρονοσήσει ἀλλ' ὑγιανεῖ rM ||

**43**, 3 πωληθήσῃ] πωλη$^{σ}$ LM || ὠφελῶν P: ὠφελήσεις LM || 4 οὐ μενεῖς ὅπου ὑπάγεις] ὅπου ὑπάγεις οὐ μενεῖς LM || 9 πίστεως addidi ||

**44**, 2 ἐπερώτησον — ἀλήθειαν] γρ. ἐργάζῃ παρὰ προσδοκίαν rM || ἀκούσῃ] ἀκούσεις LM ||

Universitäts- und
Landesbibliothek Düsseldorf

δ ὁ συνεχόμενος ἀπολυθήσεται ἄρτι
ε ἀπαλλαγήσῃ τῆς φίλης καὶ μεταμεληθήσῃ
ϛ γενήσῃ ἐπίσκοπος ὅταν γηράσῃς
ζ καταληφθήσῃ ἐπὶ μοιχείᾳ καὶ ζημιωθήσῃ
η οὐκ ἀγοράσεις τὸ κτῆμα. μὴ προσδόκα
ϑ οὐ παραμενεῖς πρεσβύτερος
ι παραμενεῖ σοι ἡ γυνὴ ἕως γήρως

δεκὰς μεʹ

α κληρονομήσεις τοὺς γονεῖς
β τεκνώσεις ἄρρεν καὶ θῆλυ καὶ χαρήσῃ
γ καταλλαγήσῃ τοῖς κυρίοις καὶ ὠφεληθήσῃ
δ κενῶς δώσεις τὰ γράμματα
ε οὐχ ἕξεις χρόνον ζωῆς. διάθου
ϛ οὐκ ἀνοίξεις ἐργαστήριον· οὐ γὰρ δέδοταί σοι
ζ ἀπαλλαγήσῃ τῆς ἀσθενείας, βραδέως δέ
η σοφιστεύσεις καὶ εὐτυχήσεις ἐν τῷ πράγματι
ϑ εὑρήσεις τὸ ἀπολόμενον νῦν. φρόντισον
ι οὐκ ἀγορανομήσεις ὅταν θέλῃς· ἐμποδίζῃ γάρ

δεκὰς μϛʹ

α * *
β οὐκ ἀγοράσεις τὸ προκείμενον
γ εὐτυχήσεις ἐκ πολλῶν σου καμάτων
δ μὴ συναλλάξῃς. μηδὲν ποίει. οὐ συμφέρει
ε ἀποδημήσεις ἐξαπίνης καὶ πολὺ ὠφεληθήσῃ
ϛ προκόψεις ὅτε οὐκ ἐλπίζεις ἐπὶ τὸ κρεῖττον
ζ κοινωνήσεις καὶ βλαβεὶς μεταμεληθήσῃ
η στρατεύσῃ καὶ ταχὺ προκόψεις ἐπὶ τὸ κρεῖττον

---

4 ἀπολυθήσεται] ἀπολύεται LM || 5 ἀπαλλαγήσῃ τῆς φίλης] καταλλαγήσῃ τῇ γυναικὶ LM || 9 οὐ παραμενεῖς πρεσβύτερος] οὐ παραμενεῖ σοι ἡ φίλη ποθεῖ γὰρ ἄλλον LM ||

45, 2 ἄρρεν] ἄρσεν LM || 4 δώσεις] ἀποδώσεις LM || 9 φρόντισον] φρόντισον οὖν LM || 10 θέλῃς] θέλῃ LM ||

46, 1 * *] κληρονομήσεις τοὺς γονεῖς LM. debebat responderi ad quaestionem 21 || 4 συναλλάξῃς] συναλλάξεις LM ||

ϑ ἐρωτα μετὰ πίστεως καὶ ἀκούσῃ τὴν ἀλήϑειαν
ι πλεύσεις μετὰ τὸ ἐγκοπῆναι καλῶς

δεκὰς μζη

α σωϑήσῃ τῆς κατηγορίας πολλῇ παρακλήσει
β δώσεις τοὺς λόγους σου βραδέως
γ ἐλεύσεται ὁ ἀπόδημος ἄρτι χαίρων
δ ἀποδώσεις ἃ ὀφείλεις κατὰ μέρος. μὴ ἀγωνία
ε δανείσῃ ἐπὶ ὑποϑήκῃ καὶ διασύρεις καιρόν
ς τέξεται ἄχρηστον. μὴ λυποῦ
ζ κινηϑήσῃ τοῦ τόπου σου. ἑτοιμάζου καὶ χαῖρε
η βλαβῆναι ἕξεις. φοβοῦ καὶ σαυτὸν τήρει
ϑ γαμήσεις καὶ σεαυτοῦ καταγνώσῃ μετανοῶν
ι οὐκ ἀγοράσεις τὸ προκείμενον

δεκὰς μηη

α οὐ στρατηγήσεις πώποτε
β οὐχ ἕξεις ϑάνατον ἰδεῖν νῦν. μὴ ἀγωνία
γ νικήσεις. ἀγωνίζου ἕως ϑανάτου
δ κληρονομήσεις καὶ ταχὺ τελευτήσεις
ε μισϑώσῃ καὶ κερδανεῖς πολύ
ς οἰκονομήσεις καὶ κατηγορηϑήσῃ καὶ φϑονηϑήσῃ
ζ οὐκ ἐκτρώσει. μὴ φοβοῦ, ἀλλ' εὔχου
η δάνεισον· ἀπολήψῃ γὰρ εὐχαριστῶν
ϑ πωλήσεις τὸν φόρτον καλῶς
ι ἀπολυϑήσῃ τῆς συνοχῆς. εὐϑύμει

δεκὰς μϑη

α λήψῃ ἣν ϑέλεις γυναῖκα
β ὁ ἀσϑενῶν σωϑήσεται καμάτῳ πολλῷ

---

9 ἐρώτα — ἀλήϑειαν] ἐν ἄλλοις γρ. οὐκ ἔχεις ἐργασίαν περίμεινον rM || ἀκούσῃ] ἄκουε LM ||

47, 1 σωϑήσῃ — παρακλήσει] δώσεις τοὺς λόγους σου βραδέως LM || 2 δώσεις — βραδέως] σωϑήσῃ τῆς κατηγορίας πολλῇ παρακλήσει LM || 3 ἐλεύσεται] ἔρχεται LM || 5 δανείσῃ] δανεισϑήσῃ LM || διασύρεις P: διασύρει LM. verba corrupta || 6 μή] μηδὲν LM || 7 τοῦ] ἐκ τοῦ LM || σου addidi || 9 γαμήσεις] γαμήσης LM || μετανοῶν] an μεταμεληϑείς? ||

48, 2 ἰδεῖν νῦν P: νῦν ἰδεῖν LM || 5 μισϑώσῃ] γρ. πιστῶσαι rM || 10 ἀπολυϑήσῃ] ἀπολύῃ LM ||

γ οὐ σωθήσῃ τῆς συκοφαντίας. περίτρεχε
δ κληρονομήσεις τὴν γυναῖκα, οὐ μόνος δέ
ε μὴ λέγε τὴν δίκην ἄρτι· ἡττηθήσῃ γάρ
ϛ παραμενεῖ σοι τὰ ὑπάρχοντα πάντα
ζ οὐ λήψῃ τὴν φερνήν
η κληρονομήσεις τοὺς γονεῖς μόνος
ϑ τεκνώσεις καὶ χαρήσῃ ἐπ᾽ αὐτοῖς μεγάλως
ι οὐ καταλλαγήσῃ τοῖς κυρίοις ἄρτι

δεκὰς $\overline{\nu}^{\eta}$

α οὐ δυνήσῃ νῦν ἄρξαι
β κληρονομήσεις τὴν μητέρα ἐξ ἡμισείας
γ οὐ κληρονομήσεις τὸν πατέρα. μὴ ἔλπιζε
δ οὐκ ἐλευθερωθήσῃ ἄρτι, ἀλλὰ μετὰ χρόνου
ε οὐχ ὑβρισθήσῃ. μὴ ἀγωνία, ἀλλὰ καρτέρει
ϛ σωθήσεται τὸ γεννηθὲν μετὰ καμάτου
ζ σωθήσῃ τῆς κατηγορίας διὰ φίλου καλοῦ
η δώσεις ἄρτι τοὺς λόγους σου ἐπὶ καλῷ
ϑ ἐλεύσεται ὁ ἀπόδημος ὑγιαίνων
ι μὴ ἀποδῷς ἄρτι ἃ ὀφείλεις. περίμεινον

δεκὰς $\overline{\nu\alpha}^{\eta}$

α * *
β ἀπαλλαγήσῃ τῆς φίλης σου ἄρτι
γ γενήσῃ ἐπίσκοπος ταχύ, μεταμεληθήσῃ δέ
δ καταληφθήσῃ μοιχὸς καὶ οὐ βλαβήσῃ
ε ἀγοράσεις τὸ κτῆμα ὃ ἐνθυμῇ

---

**49,** 4 *κληρονομήσεις — δέ*] *γρ. οὐ κληρονομήσεις τὴν γυναῖκα μόνον ἀλλὰ καὶ ἑτέραν* rM || 6 *παραμενεῖ*] *μενεῖ* LM || *ὑπάρχοντα*] *ὑπάρχοντά σου* LM || 7 post *φερνὴν* rM addit *γρ. ἔκδεξαι* || 8 *τοὺς γονεῖς μόνος*] *μόνος τοὺς γονεῖς* LM, *τοὺς γονεῖς μόνος δὲ* P, unde fortasse rectius efficies *οὐ μόνος δέ* ||

**50,** 2 *τὴν μητέρα*] *τὸν πατέρα* LM || 3 *τὸν πατέρα*] *τὴν μητέρα* LM || 4 *χρόνον* M || 9 *ἐλεύσεται*] *ἔρχεται* LM || *ὑγιαίνων* rM: *ἐπὶ καλῷ γάρ* LM || *μὴ ἀποδῷς*] *γρ. μὴ ἀποδίδως* rM || *περίμεινον*] *ἀνάμεινον* LM ||

**51,** 1 * *] *οὐ μενεῖς ὅπου ὑπάγεις* LM. debebat responderi ad quaestionem 102 || 2 *ἀπαλλαγήσῃ*] *ἀπαλλάσσῃ* LM || *ἐνθυμῇ*] *ἐπιθυμεῖς* LM ||



Universitäts- und
Landesbibliothek Düsseldorf

ϛ παραμενεῖς πρεσβύτερος ἕως γήρως
ζ οὐ παραμενεῖ σοι ἡ γυνή· μοιχεύεται γάρ
η ἀπαλλαγήσῃ τοῦ κλήρου. φρόντιζε
ϑ γενήσῃ δεκάπρωτος ἐν τάχει
ι οὐ ϑεάσῃ τὴν πατρίδα ἄρτι

δεκὰς νβ$^{η}$

α ἐὰν ἄρτι μισθώσῃ, βλαβήσῃ
β οἰκονομήσεις εὐθέως καλῶς
γ ἐκτρώσει καὶ κινδυνεύσει. πρόσεχε
δ ἐὰν δανείσῃς, βραδέως ἀπολήψῃ καὶ μετὰ μάχης
ε πωλήσεις τὸν φόρτον ταχέως καὶ χαρήσῃ
ϛ ἀπολυθήσῃ τῆς συνοχῆς ἐν τάχει
ζ λήψῃ ἣν θέλεις γυναῖκα ἐπὶ κακῷ σου
η ὁ ἀσθενῶν μετὰ κινδύνου σωθήσεται
ϑ σωθήσῃ τῆς συκοφαντίας πολλῇ παρακλήσει
ι οὐ κληρονομήσεις τὴν γυναῖκα. μὴ ἔλπιζε

δεκὰς νγ$^{η}$

α οὐχ εὑρήσεις τὸν φυγόντα
β ἄρξεις καὶ εὐημερήσεις καὶ δοξασθήσῃ
γ κληρονομήσεις τὴν μητέρα μόνος
δ οὐ κληρονομήσεις τὸν πατέρα· προτελευτήσεις γάρ
ε ἐλευθερωθήσῃ δοὺς ἀργύριον μετὰ παρακλήσεως
ϛ ὑβρισθήσῃ δεινῶς· ἀλλὰ μὴ φρόντιζε
ζ οὐ ζήσεται τὸ γεννώμενον. ἄρτι τελευτᾷ
η οὐ σωθήσῃ κατηγορούμενος. συσκευάζου
ϑ δώσεις ἄρτι τοὺς λόγους σου καὶ ὠφεληθήσῃ
ι οὐκ ἐλεύσεται ὁ ἀπόδημος· ἀσχολεῖται γάρ

---

7 σοι P: σου LM || fortasse μοιχευθήσεται ||

52, 3 πρόσεχε P: προσεχέ' L, προσέχεται M || 4 ἀπολήψῃ] λήψῃ LM ||

53, 2 εὐημερήσῃ M || 4 τὸν πατέρα] τὴν μητέρα L || 5 παράκλησιν M || 8 συσκευάζου om L || 9 δώσεις] δίδου LM || 10 ἐλεύσεται] ἔρχεται LM ||

δεκὰς νδη

α οὐ παραμενεῖ σοι ἡ γυνή
β οὐ δυνήσῃ ἀπαλλαγῆναι τοῦ κλήρου
γ οὐ γενήσῃ δεκάπρωτος. μὴ ἔλπιζε
δ θεάσῃ τὴν πατρίδα ἐν τάχει
ε οὐκ ἀπαρτίσεις ὃ ἐπιβάλλῃ
ϛ λήψῃ λεγάτον ἐπὶ βλάβῃ πολλῇ
ζ οὐ πεφαρμάκευσαι, ἀλλὰ μεμάγευσαι
η οὐκ ἀπαλλαγήσῃ τῆς γυναικὸς ἄρτι. καρτέρει
θ λήσεταί σου ὁ δρασμὸς πρὸς ὀλίγον
ι οὐ γενήσῃ βουλευτὴς τέως. περίμεινον

δεκὰς νεη

α οὐ λήψῃ κομητάτον
β ἀποκατασταθήσῃ εἰς τὸν τόπον σου
γ συναλλάξεις καὶ κερδανεῖς τὰ ἑτέρων
δ ἥξει σοι ὄφελος ἀπὸ τοῦ φίλου σου πολύ
ε οὐ πωληθήσῃ. οὐ συμφέρει σοι. περίμεινον
ϛ μενεῖς ὅπου ὑπάγεις ὀλίγον καιρόν
ζ λήψῃ ὀψώνιον βραδέως
η ἀπολήψῃ τὴν παρακαταθήκην ἀκινδύνως
θ οὐ γαμήσεις τὴν φίλην. μὴ πλανῶ
ι μὴ θῇς παραβόλιον· νικηθήσῃ γάρ

δεκὰς νϛη

α δώσεις τοὺς λόγους σου
β οὐκ ἐλεύσεται ὁ ἀπόδημος ἄρτι
γ ἀπόδος ἄρτι ἃ ὀφείλεις, εἴπερ ἐθέλεις
δ οὐ δυνήσῃ δανείσασθαι ἄρτι. περίμεινον
ε τέξεται μετὰ κινδύνου πολλοῦ
ϛ κινηθήσῃ τοῦ τόπου σου ἐπὶ τὸ κρεῖττον

---

**54,** 5 *ἐπιβάλλει* M || 9 *λήσεται*] *λανθάνει* LM || *ὀλίγον* P: *ὀλίγου* LM ||
**55,** 5 *οὐ πωληθήσῃ*] *οὐ πωλήσῃς* L, *μὴ πωλήσεις* M || 9 *γαμήσεις*] *γήμῃς* LM ||
**56,** 2 *ἐλεύσεται*] *ἔρχεται* LM || 4 *ἄρτι δανείσασθαι* M || 6 *τοῦ*] *ἐκ τοῦ* LM ||

Universitäts- und Landesbibliothek Düsseldorf

ζ βλαβήση ὀλίγον· ἀλλὰ μὴ λυποῦ
η οὐ γαμήσεις ἄρτι. περίμεινον· συμφέρει γάρ
ϑ ἀγοράσεις τὸ προκείμενον καὶ χαρήσῃ
ι εὐτυχήσεις ταχέως ἐπὶ τὸ κρεῖττον

δεκὰς $\overline{\nu\zeta}$ η

α οὐ λήψῃ λεγάτον. μὴ προσδόκα
β πεφαρμάκευσαι. σεαυτῷ βοήϑει
γ ἀπαλλαγήσῃ τῆς γυναικὸς καὶ μεταμεληϑήσῃ
δ λήσεταί σου ὁ δρασμὸς πρὸς καιρόν
ε οὐ γενήσῃ βουλευτὴς ἄρτι. φρόντιζε
ς πρεσβεύσεις οὐ μόνος· συμφέρει γάρ
ζ οὐ φυγαδευϑήσῃ. μὴ φοβοῦ. εὐϑύμει
η γενήσῃ βιοπράγος καὶ εὐχαριστήσεις
ϑ ἀγοράσεις ὃ ἐνϑυμῇ καὶ μεταμεληϑήσῃ
ι οὐχ εὑρήσεις ἄρτι πωλῆσαι. περίμεινον

δεκὰς $\overline{\nu\eta}$ η

α κερδανεῖς ὀλίγον ἀπὸ τοῦ πράγματος
β ζῇ ὁ ἀπόδημος καὶ ἔρχεται μετὰ χρόνου
γ λήψῃ ἀργύριον μετὰ χρόνου
δ οὐ λήψῃ ἄρτι κομητάτον
ε ἀποκατασταϑήσῃ εἰς τὸν τόπον σου
ς ἐὰν συναλλάξῃς, βλαβήσῃ
ζ οὐ πωλήσεις ἐπὶ τῷ συμφέροντί σου
η ὠφεληϑήσῃ ἀπὸ τοῦ φίλου σου πολύ
ϑ μενεῖς ὅπου ὑπάγεις, ἐὰν σπεύσῃς
ι λήψῃ ὀψώνιον καλῶς

---

**57,** 2 *πεφαρμάκευσαι*] *πεφαρμάκωσαι* LM || *σεαυτῷ βοήϑει*] *βοήϑει σεαυτῷ* LM || 3 *ἀπαλλαγήσῃ τῆς γυναικὸς*] *διαλλαγήσῃ τῇ γυναικὶ* LM || 4 *λήσεταί*] *λανϑάνει* LM || 5 *φρόντιζε*] *φρόν* L || 6 *οὐ*] *σὺ* L sec M || 7 *οὐ — εὐϑύμει*] *οὐ — εὔϑυμος εἶ* M, *οὐκ ὄψει ἄρτι τὴν πατρίδα* L || 8 *γενήσῃ — εὐχαριστήσεις*] *γίνῃ — εὐχαριστεῖς* M, *οὐκ ἀπαρτίσεις ὃ ἐπιβάλλῃ* L || 10 *πωλῆσαι περίμεινον*] *τὸ ἀπολόμενον* L ||

**58,** 1 *κερδανεῖς — πράγματος*] *οὐχ ἕξεις ἐλπίδα πίστεως* L || 2 *ζῇ — χρόνου*] *οὐχ ἕξεις χρόνον ζωῆς πολύν* L || 4 *οὐ — κομητάτον*] *κερδανεῖς ὀλίγον ἀπὸ τοῦ πράγματος*] L || 5 *ἀποκατασταϑήσῃ — σου*] *ἕξεις ἐσχάτην καλήν* L || 7 *οὐ — σου*] *παραμενεῖ σοι ἡ γυνὴ ἕως γήρως* L || 8 *ὠφεληϑήσῃ — πολύ*] *οὐ πωλεῖς ἐπὶ τῷ συμφέροντί σου* L || 9 *μενεῖς — σπεύσῃς*] *ἀπαρτίσεις ὃ ἐπιβάλλῃ ταχέως* L || 10 *λήψῃ — καλῶς*] *λαμβάνεις ὀψώνιον καὶ καλῶς* M, *προκόψεις ἐπὶ καλῷ καὶ δοξασϑήσῃ* L ||

Universitäts- und
Landesbibliothek Düsseldorf

### δεκὰς $\overline{\nu\vartheta}^{\eta}$

α οὐ κατασταθήσῃ κληρικός
β οὐ στρατηγήσεις ἄρτι. μὴ ἔλπιζε
γ οὐχ ἕξεις θάνατον ἰδεῖν
δ οὐ νικήσεις τελείως. μὴ ἔλπιζε
ε κληρονομήσεις, οὐ μόνος δέ
ϛ μίσθωσαι· ὠφεληθήσῃ γὰρ πολύ
ζ οὐ δέδοταί σοι οἰκονομῆσαι ἄρτι
η οὐκ ἐκτρώσει. μὴ φοβοῦ
θ μὴ δανείσῃς, ἵνα μὴ μεταμεληθῇς
ι πωλήσεις τὸν φόρτον καλῶς καὶ χαρήσῃ

### δεκὰς $\overline{\xi}^{\eta}$

α πωληθήσῃ, ἄρτι δὲ οὔ
β μενεῖς ὅπου ὑπάγεις ὀλίγον
γ λήψῃ ὀψώνιον καλὸν νῦν
δ ἀπολήψῃ τὴν παρακαταθήκην
ε γαμήσεις τὴν φίλην, νῦν δὲ οὔ
ϛ θὲς παραβόλιον· νικήσεις γάρ
ζ οὐχ ἕξεις ἐλπίδα πίστεως τὸ σύνολον
η ἐπιτεύξῃ τῆς ἐπικλήσεως ταχέως
θ κατασταθήσῃ κληρικὸς βραδέως
ι οὐ στρατηγήσεις ποτέ. μὴ ἔλπιζε

### δεκὰς $\overline{\xi\alpha}^{\eta}$

α ἐκτρώσει καὶ κινδυνεύσει
β δάνεισον ἐπὶ ὑποθήκῃ ὅσον θέλεις
γ πωλήσεις τὸν φόρτον βραδέως. μὴ ἐκκάκει
δ οὐκ ἀπαλλαγήσῃ τῆς συνοχῆς. περίμεινον

---

**59,** 6 *γὰρ* addidi || 7 *οἰκονομῆσαι*] *κοινωνῆσαι* LM ||

**60,** 1 *πωληθήσῃ*] *πωλήσεις* LM || 5 *γαμήσεις*] *γήμῃς* LM || 8 *τῆς ἐπικλήσεως ταχέως* P: *ταχέως τῆς ἐπικλήσεως* LM ||

**61,** 2 *δάνεισον*] *δανείσῃ* LM || *πωλήσεις — βραδέως*] *πωλεῖς τὸν φόρτον βραδέως* P, *βραδέως πωλήσεις τὸν φόρτον* LM || 3 *ἐκκάκει*] *ἐκκ*$\overset{\varkappa}{\alpha}$ L, *ἐκκακῶ* M || 4 *οὐκ — περίμεινον*] *οὐκ ἀπαλλάσσῃ τῆς συνοχῆς μεῖνον* P, *μεῖνον οὐκ ἀπαλλαγήσῃ τῆς συνοχῆς*. praeterea malim *ἀπολυθήσῃ* pro *ἀπαλλαγήσῃ* ||

Universitäts- und
Landesbibliothek Düsseldorf

ε οὐ λήψῃ ἣν θέλεις γυναῖκα
ϛ ὁ ἀσθενῶν μακρονοσήσας σωθήσεται
ζ σωθήσῃ τῆς συκοφαντίας διὰ φίλων
η οὐ κληρονομήσεις τὴν γυναῖκα
ϑ σπούδασον εἰπεῖν τὴν δίκην ἄρτι
ι οὐ παραμενεῖ σοι τὰ ὑπάρχοντα ἐπὶ πολύ

δεκὰς ξβη

α οὐχ ἕξεις χρόνον ζωῆς
β οὐκ ἀνοίξεις ἐργαστήριον ἄρτι
γ οὐ σωθήσῃ τῆς ἀσθενείας. διάθου
δ οὐ σοφιστεύσεις νῦν. ἄλλο τι ποίει
ε οὐχ εὑρήσεις νῦν τὸ ἀπολόμενον
ϛ οὐκ ἀγορανομήσεις ἄρτι. μὴ ἔλπιζε
ζ οὐ κληρονομήσεις νῦν τὸν φίλον
η οὐχ ἕξεις ἐσχάτην καλήν. σεαυτῷ βοήθει
ϑ οὐχ εὑρήσεις τὸν φυγόντα νῦν
ι οὐκ ἄρξεις ἄρτι, ἀλλὰ μετὰ χρόνου

δεκὰς ξγη

α στρατεύσῃ, ἀλλ᾽ ἐπὶ βλάβῃ
β * *
γ πλεύσεις νῦν καλῶς καὶ χαρήσῃ
δ οὐκ ἀπολυθήσεται ὁ συνεχόμενος ἄρτι
ε ἀπαλλαγήσῃ τῆς φίλης ἐπ᾽ ὠφελείᾳ
ϛ οὐχ ἕξεις τύχην ἐπισκοπεῦσαι
ζ * *
η οὐκ ἀγοράσεις ἄρτι χωρίον ἢ οἰκίαν
ϑ οὐ παραμενεῖς πρεσβύτερος
ι οὐ παραμενεῖ σοι ἡ γυνή

---

7 φίλων P: φίλον LM || 10 παραμενεῖ] μενεῖ LM || ὑπάρχοντα] ὑπάρχοντα ἄρτι LM ||

**62,** 8 οὐχ ἕξεις] οὐκ ἔχεις LM || βοήθει P: προνόει LM || 10 χρόνου] χρόνον LM ||

**63,** 2 * *] ἐργάζῃ μετὰ πόνου καὶ κόπου πολλοῦ M, in L lacuna relicta est. responderi debebat ad quaestionem 13 || 3 καὶ] μὴ L || 5 ἀπαλλαγήσῃ τῆς φίλης] καταλλαγήσῃ τῇ φίλῃ LM || 6 τύχην] vide ad 2, 2 || 7 * *] μοιχὸς εἶ ἀλλ᾽ ἡ γυνή σου ἄλλον φιλεῖ LM, γρ. μοιχὸς οὐκ εἶ rM. responderi debebat ad quaestionem 100 ||

Universitäts- und
Landesbibliothek Düsseldorf

δεκὰς $\overline{\xi\delta}^{\eta}$

α οὐ σωθήσεται ὁ ἀπόδημος
β περὶ τοῦ ἀργυρίου ἀπόστειλον ταχέως
γ λήψῃ κομητάτον ὡς θέλεις
δ οὐκ ἀποκατασταθήσῃ εἰς τὸν τόπον σου ἕως γήρως
ε ἐὰν συναλλάξῃς ἑτέρῳ, ὠφεληθήσῃ
ϛ οὐχ ἕξεις ὠφέλειαν ἀπὸ τοῦ φίλου σου
ζ ὅπου ἂν πραθῇς, μεταμεληθήσῃ
η μενεῖς ὅπου ὑπάγεις καὶ καλῶς
ϑ συναλλάξεις ἐν τῷ πράγματι τοῦ ὀψωνίου
ι οὐκ ἀπολήψῃ τὴν παρακαταθήκην

δεκὰς $\overline{\xi\varepsilon}^{\eta}$

α οὐ παραμενεῖς πρεσβύτερος
β οὐ παραμενεῖ σοι ἡ γυνὴ ἕως γήρως
γ οὐκ ἀπαλλαγήσῃ τοῦ κλήρου ἕως θανάτου
δ γενήσῃ δεκάπρωτος ταχύ
ε οὐχ ἕξεις τὴν πατρίδα ἰδεῖν
ϛ ἀπαρτίσεις ταχέως ὃ ἐπιβάλλῃ
ζ λήψῃ λεγάτον, ὀλίγον δέ
η πεφαρμάκευσαι. σεαυτῷ βοήθει
ϑ οὐκ ἀπαλλαγήσῃ τῆς γυναικός ποτε
ι λήσεται σου ὁ δρασμὸς πρὸς ὀλίγον

δεκὰς $\overline{\xi ϛ}^{\eta}$

α γενήσῃ βιοπράγος
β οὐκ ἀγοράσεις ὃ ἐνθυμῇ· οὐ γὰρ συμφέρει
γ πωλήσεις καὶ κερδανεῖς πολύ
δ προσγραφήσεται τὰ σά. ἄλλα κτῆσαι
ε κερδανεῖς ἀπὸ τοῦ πράγματος ὀλίγον
ϛ ζῇ ὁ ἀπόδημος καὶ ἔρχεται ὑγιαίνων

---

**64,** 1 σωθήσεται] σώζεται LM || 5 ὠφεληθήσῃ] ὠφελῇ LM || 6 ἀπὸ] ἐκ LM || 7 ἂν] ἐὰν M ||
**65,** 10 λήσεται] λανθάνει LM ||
**66,** 4 προσγραφήσεται LM || ἄλλα κτῆσαι] καὶ τἄλλα κτῆσαι LM ||

ζ λήψη τὸ ἀργύριον κατὰ μέρος
η οὐ λήψη ἄρτι κομητάτον
ϑ οὐκ ἀποκατασταϑήσῃ εἰς τὸν τόπον σου
ι ἐὰν ἑτέρῳ συναλλάξῃς, βλαβήσῃ

### δεκὰς ξζ'

α φυγαδευϑήσῃ πρὸς ὀλίγον
β οὐ γενήσῃ τελείως βιοπράγος
γ ἀγοράσεις ὃ ἐνϑυμῇ καὶ χαρήσῃ
δ βραδέως εὑρήσεις πωλῆσαι, καλῶς δέ
ε οὐ προσγραφήσεται τὰ σά. μὴ φοβοῦ
ς κερδανεῖς ἀπὸ τοῦ πράγματος πολύ
ζ οὐκ ἐλεύσεται ὁ ἀπόδημος· οὐ γὰρ ζῇ
η λήψη τὸ ἀργύριον ἄρτι
ϑ οὐ λήψη κομητάτον νῦν
ι οὐκ ἀποκατασταϑήσῃ εἰς τὸν τόπον σου

### δεκὰς ξη'

α οὐ κληρονομήσεις τὸν πατέρα
β οὐκ ἐλευϑερωϑήσῃ ἄρτι. μὴ προσδόκα
γ οὐχ ὑβρισϑήσῃ. μᾶλλον χαῖρε
δ σωϑήσεται τὸ γεννηϑὲν μετὰ καμάτου
ε σωϑήσῃ τῆς κατηγορίας παρακλήσει
ς δώσεις τοὺς λόγους σου δωρεάν
ζ ἐλεύσεται ὁ ἀπόδημος χρονίσας. χαῖρε
η οὐκ ἀποδώσεις ἃ ὀφείλεις ἄρτι, ἀλλὰ μετὰ χρόνου
ϑ βραδέως δανείσῃ παρ' οὗ ϑέλεις
ι τέξεται καὶ τὸ γεννώμενον ἄχρηστον ἔσται

### δεκὰς ξϑ'

α πλεύσεις νῦν
β ἀπολυϑήσεται ὁ συνεχόμενος νῦν

---

**67,** 2 *τελείως*] *τέλειος* LM. malim *βιοπράγος τελείως* || 5 *προσγραφήσεται*] *προσγράφεται* LM || 7 *ἐλεύσεται*] *ἔρχεται* LM ||

**68,** 2 *ἐλευϑερωϑήσῃ*] *ἐλευϑεροῦσαι* LM || 3 *μᾶλλον* suspectum est || 7 *χαῖρε*] *χαίρων* LM || 6 *δωρεάν*] an δ̄ *ὥρᾳ* vel potius *ὥρᾳ* δ̄? || 8 *χρόνου*] *χρόνον* M, om L ||

Universitäts- und
Landesbibliothek Düsseldorf

γ ἀπαλλαγήσῃ τῆς φίλης διὰ χρόνου
δ οὐχ ἕξεις γενέσθαι ἐπίσκοπος. μὴ ἔλπιζε
ε οὐ καταληφθήσῃ μοιχός
ϛ ἀγοράσεις χωρίον ἢ οἰκίαν
ζ παραμενεῖς πρεσβύτερος
η οὐ παραμενεῖ σοι ἡ γυνή· φίλον γὰρ ἔχει
ϑ ἀπαλλαγήσῃ τοῦ κλήρου
ι οὐ γενήσῃ δεκάπρωτός ποτε

δεκὰς $\overline{ο}$[η]

α σωθήσῃ τῆς ἀσθενείας σου
β οὐ σοφιστεύσεις. ἄλλο τι πρᾶττε
γ εὑρήσεις τὸ ἀπολόμενον ταχέως καὶ χαρήσῃ
δ ἀγορανομήσεις καὶ ὠφεληθήσῃ πολύ
ε κληρονομήσεις τὸν φίλον ἐξ ἡμισείας
ϛ ἕξεις ἐσχάτην καλήν. μόνον εὔχου
ζ εὑρήσεις ἄρτι τὸν φυγόντα
η ἄρξεις καὶ εὐημερήσεις καὶ δοξασθήσῃ
ϑ οὐ κληρονομήσεις τὴν μητέρα. ἄλλῳ ἀπόκειται
ι κληρονομήσεις τὸν πατέρα μόνος

δεκὰς $\overline{οα}$[η]

α τέξεται μετὰ κινδύνου
β κινηθήσῃ τοῦ τόπου σου ἄφνω ἐπὶ τὸ κρεῖττον
γ βλαβήσῃ ἐν τούτῳ, ἐν δὲ τῷ ἑτέρῳ ὠφεληθήσῃ
δ γῆμαι ἕξεις ἐπὶ καλῷ, ἐὰν σπεύσῃς
ε οὐκ ἀγοράσεις τὸ προκείμενον· οὐ γὰρ ἐπαρκεῖς
ϛ εὐτυχήσεις ἐπ' ἐσχάτων καὶ οἰκοδεσποτήσεις
ζ συναλλάξεις καὶ κερδανεῖς διὰ τῶν ἀλλοτρίων
η ἀποδημήσεις ἐξαπίνης καὶ κερδανεῖς

---

**69,** 3 ἀπαλλαγήσῃ τῆς φίλης] καταλλάσσῃ τῇ γυναικὶ LM || χρόνου] χρόνον LM || 6 ἀγοράσεις] ἀγορανομήσεις LM || 7 παραμενεῖς πρεσβύτερος] παραμενεῖ σοι ἡ γυνή σου σωφρονοῦσα LM || 9 τοῦ κλήρου] τῆς φίλης ζηλοτυπήσας LM ||

**70,** 7 εὑρήσεις ἄρτι P: ἄρτι εὑρήσεις LM || 9 τὴν μητέρα] τὸν πατέρα L ||

**71,** 2 σου addidi || 3 ὠφεληθήσῃ] ὠφελῇ LM || 8 ἀποδημήσῃς M ||



Universitäts- und
Landesbibliothek Düsseldorf

θ οὐ προκόψεις ἄρτι. μὴ ἔλπιζε
ι κοινωνήσεις ἐπ᾽ ὠφελείᾳ

δεκὰς οβη

α οὐ γενήσῃ βουλευτής
β οὐ πρεσβεύσεις μόνος· οὐ γὰρ συμφέρει σοι
γ οὐ φυγαδευθήσῃ. μὴ φοβοῦ
δ οὐ γενήσῃ βιοπράγος τὸ σύνολον
ε ἀγοράσεις ὃ ἐνθυμῇ καὶ μεταμεληθήσῃ
ϛ εὑρήσεις πωλῆσαι βραδέως
ζ προσγραφήσεται τὰ σά. πρόσεχε
η κερδανεῖς ἀπὸ τοῦ πράγματος. πρόσεχε
θ ἐλεύσεται ὁ ἀπόδημος μετὰ φίλου καλοῦ
ι οὐ λήψῃ τὸ ἀργύριον ὅλως

δεκὰς ογη

α οὐκ ἀγοράσεις χωρίον ἢ οἰκίαν
β παραμενεῖς πρεσβύτερος ἕως γήρως
γ οὐ παραμενεῖ σοι ἡ γυνή· μοιχεύεται γάρ
δ ἀπαλλαγήσῃ τοῦ κλήρου μετὰ γήρως
ε γενήσῃ δεκάπρωτος ἐξαπίνης
ϛ ἕξεις τὴν πατρίδα ἰδεῖν, βραδέως δέ
ζ ἀπαρτίσεις ὃ ἐπιβάλλῃ ταχέως
η λήψῃ λεγάτον, ὀλίγον δέ
θ οὐ πεφαρμάκευσαι. τί ἀκαιρεῖς;
ι οὐκ ἀπαλλαγήσῃ τῆς γυναικός. μὴ μερίμνα

δεκὰς οδη

α οὐ σωθήσῃ τῆς συκοφαντίας
β κληρονομήσεις τὴν γυναῖκα μόνος

---

9 οὐ προκόψεις ἄρτι P: ἄρτι οὐ προκόψεις LM || 10 κοινωνήσεις ἐπ᾽ ὠφελείᾳ] κοινωνήσῃ ἐπ᾽ ὠφελείᾳ sec M, ἐὰν συναλλάξῃς, βλαβήσῃ πολύ L pr M ||

72, 2 οὐ] μὴ L || 7 προσγραφήσεται] προσγράφεται LM || 8 πρόσεχε] γρ. κάμε rM || 10 ὅλως] γρ᾽ ὅλον sec M ||

73, 3 γυνή] γυνή σου LM || μοιχεύεται] μοιχᾶται LM || 4 γήρως] γῆρας LM || 7 ὃ ἐπιβάλλῃ ταχέως] ὃ ἐπιβάλλεις ταχέως P, ταχέως ὃ ἐπιβάλλῃ LM || 10 μὴ μερίμνα] ἀμερίμνα LM ||

Universitäts- und
Landesbibliothek Düsseldorf

γ εἰπὲ τὴν δίκην ἄρτι· νικήσεις γάρ
δ οὐ παραμενεῖ σοι τὰ ὑπάρχοντα ἕως γήρως
ε οὐ λήψῃ τὴν φερνήν· οὐ γὰρ εὑρήσεις τι
ς οὐ κληρονομήσεις τοὺς γονεῖς σου· ἐμισήθης γάρ
ζ οὐ τεκνώσεις ἄρτι. μὴ προσδόκα
η καταλλαγήσῃ τοῖς κυρίοις καὶ ἀγαπηθήσῃ ὑπ' αὐτῶν
ϑ δὸς τὰ γράμματα. ἐπιτεύξῃ οὗ χρῄζεις
ι ἕξεις χρόνον ζωῆς καὶ πάνυ καλόν

### δεκὰς οεη

α οὐκ οἰκονομήσεις
β ἐκτρώσει καὶ κινδυνεύσει ἕως θανάτου
γ ἐὰν δανείσῃς, βραδέως ἀπολήψῃ
δ οὐ πωλήσεις τὸν φόρτον ταχύ
ε ἀπολυθήσῃ τῆς συνοχῆς ἄρτι
ς λήψῃ ἣν θέλεις γυναῖκα ἐπὶ κακῷ
ζ ὁ ἀσθενῶν σωθήσεται καμάτῳ πολλῷ
η σωθήσῃ τῆς συκοφαντίας ταχύ
ϑ οὐ κληρονομήσεις τὴν γυναῖκα μόνος
ι ἀγωνίζου, εἰπὲ τὴν δίκην· νικήσεις γάρ

### δεκὰς οςη

α κληρονομήσεις τὴν μητέρα
β οὐ κληρονομήσεις τὸν πατέρα· μὴ ἔλπιζε
γ ἐλευθερωθήσῃ, ἄρτι δὲ οὔ
δ οὐχ ὑβρισθήσῃ νῦν, ἀλλὰ μετὰ χρόνου
ε τὸ γεννώμενον μὴ τρέφε, συμβουλεύω σοι
ς κινδυνεύσεις ἐπὶ τῇ κατηγορίᾳ
ζ δώσεις τοὺς λόγους σου μεθ' ὕβρεως
η οὐκ ἐλεύσεται ὁ ἀπόδημος· ἀσχολεῖται γάρ
ϑ ἀποδώσεις ἄρτι ἃ ὀφείλεις ἐκ κόπων σου
ι οὐ δυνήσῃ ἄρτι δανείσασθαι· οὐ γὰρ πιστεύσει σοί τις

---

**74,** 4 *παραμενεῖ*] *μενεῖ* LM || 8 *καταλλαγήσῃ*] *διαλλαγήσῃ* LM ||

**76,** 1 *τὴν μητέρα* om L || 4 *χρόνου*] *χρόνον* LM || 6 *κινδυνεύσεις*] *κινδυνεύσῃ* LM || 8 *ἐλεύσεται*] *ἔρχεται* LM || 10 *δυνήσῃ*] *δύνασαι* LM || *οὐ γὰρ πιστεύσει σοί τις*] *οὐ γὰρ πιστεύσ' τις* M, *οὐ πιστήσ' τις* L, *οὐ πιστεύει σοί τις* P ||

### δεκὰς οζ$^{η}$

α οὐ παραμενεῖ σοι ὁ κλῆρος
β γενήσῃ δεκάπρωτος, ὅτε οὐκ οἶδας
γ ἕξεις τὴν πατρίδα ἰδεῖν ἐξαπίνης
δ ἀπαρτίσεις ὃ ἐπιβάλλῃ καὶ δοξασθήσῃ
ε οὐ λήψῃ λεγάτον. μὴ ἔλπιζε
ϛ οὐ πεφαρμάκευσαι. μὴ φοβοῦ
ζ ἀπαλλαγήσῃ τῆς γυναικὸς ἐπ' ὠφελείᾳ
η οὐ λήσεταί σου ὁ δρασμός
ϑ γενήσῃ βουλευτής, ἄρτι δὲ οὔ
ι πρεσβεύσῃ μόνος καὶ δοξασθήσῃ

### δεκὰς οη$^{η}$

α ὄψει θάνατον ὃν οὐ θέλεις
β οὐ νικήσεις ἄρτι. συμφέρει σοι καρτερῆσαι
γ οὐ κληρονομήσεις ἄρτι. σιώπα
δ μισθώσῃ καὶ κερδανεῖς ὅσον ἐπιθυμεῖς
ε οἰκονομήσεις ἄρτι· οὐδεὶς γάρ σε ἐμποδίσει
ϛ οὐκ ἐκτρώσει. μὴ φοβοῦ τὸ σύνολον
ζ δάνεισον ἐπὶ ὑποθήκῃ καὶ οὐκ ἀπολέσεις
η οὐ πωλήσεις τὸν φόρτον. μὴ σπεῦδε
ϑ ἀπολυθήσῃ τῆς συνοχῆς ἐξ ἀνελπίστων
ι μὴ λάβῃς ἣν θέλεις γυναῖκα· συμφέρει γάρ σοι

### δεκὰς οϑ$^{η}$

α οὐ συμφέρει σοι συναλλάξαι
β ἀποδημήσεις ἐξαπίνης καὶ μακράν
γ οὐ προκόψεις ἄρτι. ἐμποδίζῃ γάρ
δ καλῶς κοινωνήσεις καὶ εὐχαριστήσεις
ε στρατεύσῃ καὶ ταχὺ προκόψεις ἐπὶ τὸ κρεῖττον
ϛ ἐπερώτησον ὥρᾳ ξ̄ καὶ ἀκούσῃ τὴν ἀλήθειαν

---

**77,** 2 ὅτε] ὡς LM ‖ 8 λήσεται] λανθάνει LM ‖

**78,** 4 μισθώσῃ] μίσθωσαι LM ‖ 9 ἀνελπίστου L ‖ 10 λάβεις M ‖ γυναῖκα addidi ‖ γάρ σοι] σοι γάρ LM ‖

**79,** 6 ἀκοῦ' L ‖ τὴν accessit ex P ‖

ζ πλεύσεις μετὰ τὸ ἐκκοπῆναι καὶ καλῶς
η ἀπολυθήσεται ὁ συνεχόμενος μετὰ κόπου
ϑ ἀπαλλαγήσῃ τῆς φίλης ταχέως
ι γενήσῃ ἐπίσκοπος, πλὴν βραδέως

δεκὰς π̅η

α μενεῖς ὅπου ὑπάγεις
β οὐ λήψῃ ὀψώνιον. μὴ προσδόκα
γ ἀπολήψῃ τὴν παρακαταθήκην ὁλόκληρον
δ γαμήσεις τὴν φίλην
ε ϑὲς παραβόλιον· νικήσεις γάρ
ϛ ἕξεις ἐλπίδα πίστεως καὶ πάνυ καλήν
ζ ἐπιτεύξῃ τῆς ἐπικλήσεως ταχέως
η οὐκ ἀποκατασταθήσῃ κληρικός. ἄλλο τι πρᾶττε
ϑ οὐ στρατηγήσεις ἄρτι. μὴ προσδόκα
ι ἕξεις ϑάνατον ἰδεῖν ἐπιζήμιον

δεκὰς π̅α̅η

α ἀπαλλαγήσῃ τῆς γυναικός
β οὐ λήσεταί σου ὁ δρασμός. ἄρτι ἐμπίπτεις
γ γενήσῃ βουλευτὴς βραδέως, ζημιωθήσῃ δέ
δ πρεσβεύσεις μόνος καὶ οὐ συμφέρει σοι
ε οὐ φυγαδευθήσῃ. μὴ φοβοῦ. μακροθύμησον
ϛ γενήσῃ βιοπράγος καὶ κτήσῃ πολλὰ ἀγαθά
ζ ἀγοράσεις ὃ ἐνθυμῇ καὶ μεταπωλήσεις αὐτό
η οὐχ εὑρήσεις πωλῆσαι ὡς ϑέλεις
ϑ προσγραφήσεται τὰ σὰ ἄρτι. φρόντιζε
ι οὐ κερδανεῖς ὅλως ἀπὸ τοῦ πράγματος

---

7 καὶ om M || 8 ἀπολυθήσεται ὁ συνεχόμενος] ὁ συνεχόμενος ἀπολύεται LM || 9 ἀπαλλαγήσῃ τῆς φίλης ταχέως] καταλλάσσῃ τῇ γυναικὶ καὶ ταχέως LM || 10 ἐπίσκοπος] δεκάπρωτος LM ||

80, 3 ἀπολήψῃ] λήψῃ LM || 4 γαμήσεις] γήμῃς LM || 6 ἕξεις] ἔχεις LM || 7 ταχέως] καὶ ταχέως LM ||

81, 2 λήσεται] λανθάνει LM || 3 ζημιωθήσῃ] ζημιοῦσαι LM || 4 καὶ οὐ συμφέρει σοι P: οὐ συμφέρει σοι δὲ LM || 5 οὐ — ἀγαθά] γενήσῃ βιόπραγος καὶ κτήσῃ πολλὰ ἀγαθά ϛ οὐ φυγαδευθήσῃ μὴ φοβοῦ μακροθύμησον LM || 7 μεταπωλήσεις αὐτό] μεταπωλεῖς αὐτόν LM || 8 εὑρήσῃ L || 9 προσγραφήσεται] προσγράφεται LM || 10 κερδανεῖς] κερδαίνεις LM ||

Universitäts- und
Landesbibliothek Düsseldorf

δεκὰς πβ̅ʹ

α μὴ κοινωνήσῃς. οὐ συμφέρει σοι
β στρατεύσῃ οὐκ ἐπὶ τὸ συμφέρον
γ * *
δ πλεύσεις ἀπροσδοκήτως καὶ καλῶς
ε οὐκ ἀπολυθήσεται ὁ συνεχόμενος
ϛ οὐκ ἀπαλλαγήσῃ τῆς φίλης διὰ πολλοῦ
ζ ἐπισκοπήσεις πολλὰ ἀγωνισάμενος
η οὐ καταληφθήσῃ ἐπὶ μοιχείᾳ. μὴ φοβοῦ
ϑ ἀγοράσεις χωρίον μετὰ καμάτου
ι οὐ παραμενεῖς πρεσβύτερος

δεκὰς πγ̅ʹ

α οὐκ ἀπολυθήσῃ τῆς συνοχῆς
β λήψῃ ἣν θέλεις γυναῖκα καὶ ἔσῃ κύριος
γ σωθήσεται τῆς ἀσθενείας ταχέως, εἰ προσέχεις
δ οὐ σωθήσῃ τῆς συκοφαντίας πολλὰ ἰσχύσας
ε οὐ κληρονομήσεις τὴν γυναῖκα. ἑτέρῳ δέδοται
ϛ ἐὰν εἴπῃς τὴν δίκην ἄρτι, νικήσεις
ζ παραμενεῖ σοι ὀλίγα τῶν ὑπαρχόντων
η λήψῃ τὴν φερνὴν καὶ σκορπίσεις αὐτήν
ϑ οὐ κληρονομήσεις τοὺς γονεῖς. ἑτέρῳ δέδοται
ι οὐ τεκνώσεις ἄρτι. περίμεινον

δεκὰς πδ̅ʹ

α οὐχ ἕξεις ὠφέλειαν ἀπὸ τοῦ φίλου σου
β πωληθήσῃ καὶ καλῶς σοι ἔσται παρ' οἷς πραθήσῃ
γ οὐ μενεῖς ὅπου ὑπάγεις· οὐ γὰρ φθάνεις
δ οὐ λήψῃ ὀψώνιον ἄρτι

---

**82,** 3 * *] in L pr M deest responsum relicta lacuna, quam sec M explevit verbis *ἐργάζῃ κάμνων ἐπὶ καλῷ καὶ χαίρῃ*. debebat responderi ad quaestionem 13 || 6 *ἀπαλλαγήσῃ*] *ἀπαλλάσσῃ* LM || *πολλοῦ*] *πολλά* LM ||

**83,** 1 *ἀπολυθήσῃ*] *ἀπολύσῃ* LM || 3 *σωθήσεται*] *σωθήσῃ* LM || *προσέχεις* corr M, erat *προσέξεις* || 4 *ἴσχυσεν* M || 5 *δέδοται* P: *δίδοται* LM || 6 *ἄρτι*] *ἀρτίως* LM || 7 *παραμενεῖ*] *μενεῖ* LM ||

**84,** 1 *ἀπὸ*] *ἐκ* LM || 2 fortasse *παρ' οἷς ἂν πραθῇς* ||

Universitäts- und Landesbibliothek Düsseldorf

ε ἀπολήψῃ τὴν παρακαταθήκην ὁλόκληρον
ϛ γαμήσεις τὴν φίλην καὶ οὐ παραμενεῖ σοι
ζ μὴ θῇς παραβόλιον· νικηθήσῃ γάρ
η ἕξεις ἐλπίδα πίστεως καλὴν
θ ἐπιτεύξῃ ἐπικλήσεως, ἧς ποθεῖς
ι κατασταθήσῃ κληρικὸς βραδέως

δεκὰς πεʹ

α προσγραφήσεται τὰ σά
β κερδανεῖς ἀπὸ τοῦ πράγματος ὀλίγον
γ ζῇ ὁ ἀπόδημος καὶ ἔρχεται
δ λήψῃ τὸ ἀργύριον κατὰ μέρος
ε λήψῃ κομητάτον
ϛ ἀποκατασταθήσῃ εἰς τὸν τόπον σου ταχέως
ζ συναλλάξεις ἑτέρῳ καὶ κερδανεῖς πολύ
η οὐχ ἕξεις ὠφέλειαν ἀπὸ τοῦ φίλου σου
θ πωληθήσῃ καὶ οὐκ ἐλευθερωθήσῃ
ι μενεῖς ὅπου ὑπάγεις

δεκὰς πϛʹ

α μὴ δανείσῃς· οὐ γὰρ συμφέρει
β πωλήσεις τὸν φόρτον ταχέως
γ οὐκ ἀπολυθήσῃ τῆς συνοχῆς ἄρτι
δ λήψῃ κόπῳ ἣν θέλεις γυναῖκα
ε ὁ ἀσθενῶν μακρονοσήσας ὑγιανεῖ
ϛ σωθήσῃ τῆς συκοφαντίας, ἐὰν προσέχῃς
ζ κληρονομήσεις τὴν γυναῖκα, οὐ μόνος δέ
η νικήσεις τὴν δίκην, ἐὰν κάμῃς, μέχρι τέλους
θ οὐ παραμενεῖ σοι πάντα τὰ ὑπάρχοντα
ι λήψῃ τὴν φερνὴν μετὰ μάχης

6 γαμήσεις] γήμῃς LM ||

**85,** 1 προσγραφήσεται] προσγράφεται LM || 4 τὸ ἀργύριον κατὰ μέρος] κατὰ μέρος τὸ ἀργύριον LM || 9 ἐλευθερωθήσῃ] γρ. ἐλευθεροῦσαι sec M ||

**86,** 2 τὸν φόρτον] τὸ φορτίον LM || 6 προσχῇ L || 9 παραμενεῖ] μενεῖ LM ||

δεκὰς $\overline{\pi\zeta}^{\eta}$

α οὐχ εὑρήσεις πωλῆσαι τὰ σά
β οὐ προσγραφήσεται τὰ σά. μὴ φρόντιζε
γ οὐ κερδανεῖς ἀπὸ τοῦ πράγματος τὸ σύνολον
δ οὐ ζῇ ὁ ἀπόδημος. μὴ προσδέχου αὐτόν
ε λήψῃ τὸ ἀργύριον κατὰ μέρος
ς οὐ λήψῃ ἄρτι κομητάτον, ἐκδέχου δέ
ζ ἀποκατασταθήσῃ εἰς τὸν τόπον σου μετὰ χαρᾶς
η εἰ συναλλάξεις ἑτέρῳ, βλαβήσῃ πολύ
ϑ ἕξεις ὠφέλειαν πολλὴν ἀπὸ τοῦ φίλου σου
ι οὐ πωληθήσῃ ἀλλ' ἐλευθερωθήσῃ

δεκὰς $\overline{\pi\eta}^{\eta}$

α προκόψεις καλῶς
β μὴ κοινώνει. οὐ συμφέρει σοι
γ στρατεύσῃ καὶ προκόψεις ταχέως
δ * *
ε * *
ς ὁ συνεχόμενος ἀπολυθήσεται
ζ ἀπαλλαγήσῃ τῆς φίλης σου ἐπὶ ζημίᾳ
η γενήσῃ ἐπίσκοπος, ἄρτι δὲ οὔ. περίμεινον μικρόν
ϑ καταληφθήσῃ μοιχὸς ἄρτι. πρόσεχε
ι οὐκ ἀγοράσεις χωρίον ἢ οἰκίαν

δεκὰς $\overline{\pi\vartheta}^{\eta}$

α γενήσῃ δεκάπρωτος
β ἕξεις τὴν πατρίδα ἰδεῖν καὶ χαρήσῃ
γ ἀπαρτίσεις ὃ ἐπιβάλλῃ
δ λήψῃ λεγάτον πολύ, ἐὰν προσέχῃς

---

87, 2 προσγραφήσεται] προσγράφεται LM || 10 post ἐλευθερωθήσῃ rM addit μετὰ λεγάτου ||

88, 3 στρατεύσῃ] στρατεύσῃς L, στρατεύσεις M || 4 * *] ἐργάσῃ φθονούμενος ὑπὸ πλειόνων LM. debebat responderi ad quaestionem 13 || 5 * *] ὀψὲ ἐπιτελεσθήσεται ὁ γάμος δι' ἀνάγκης M, ὀψὲ ἐπιτελεσθήσεται ὁ γάμος δι' ἀνεὺ L. debebat responderi ad quaestionem 12 || 6 ἀπολυθήσεται] ἀπολύεται LM || 7 ἀπαλλαγήσῃ τῆς φίλης] καταλλαγήσῃ τῇ φίλῃ LM || 8 περίμεινον] μεῖνον LM || 9 καταληφθήσῃ] οὐ καταλήψῃ LM ||

89, 4 προσέχῃς] προσχῇς LM ||

ε πεφαρμάκευσαι ἀληθῶς. σεαυτῷ βοήθει
ς οὐκ ἀπαλλαγήσῃ τῆς γυναικὸς καλῶς
ζ λήσεταί σου ὁ δρασμὸς ἕως χρόνου
η γενήσῃ βουλευτὴς καὶ ὠφεληθήσῃ πλουτήσας
ϑ πρεσβεύσεις καὶ ἐπιτεύξῃ ἐν τῷ πράγματι
ι φυγαδευθήσῃ

### δεκὰς ζ̅η

α γαμήσεις τὴν φίλην ἄρτι
β θὲς παραβόλιον· νικήσεις γάρ
γ οὐχ ἕξεις ἐλπίδα πίστεως τὸ σύνολον
δ ἐπιτεύξῃ ἐπικλήσεως ἧσπερ ηὔξω
ε κατασταθήσῃ κληρικὸς καὶ γενήσῃ λοιμός
ς στρατηγήσεις καὶ εὐημερήσεις ἕως τέλους
ζ ὄψει θάνατον οἰκείου ταχέως. ἀλλὰ μακροθύμει
η νικήσεις. μὴ ἀγωνία
ϑ κληρονομήσεις καὶ ζημιωθήσῃ πολύ
ι ἐὰν μισθώσῃ, βλαβήσῃ πολύ

### δεκὰς ζα̅η

α ἀποδημῆσαι ἕξεις ἄρτι
β οὐ προκόψεις νῦν. μὴ φαντάζου
γ μὴ κοινώνει. οὐ συμφέρει σοι. ζημιωθήσῃ
δ στρατεύσῃ καὶ πολὺ βλαβήσῃ
ε * *
ς πλεύσεις μετὰ κινδύνου, ἀλλὰ θάρρει
ζ ὁ συνεχόμενος ἀπολυθήσεται χρόνῳ

---

6 οὐκ ἀπαλλαγήσῃ τῆς γυναικὸς] οὐ καταλλάσσῃ τῇ γυναικὶ LM. τῆς γυναικὸς sec M || καλῶς] κακῶς LM, ἢ καλῶς sec M || 7 λήσεται] λανθάνει LM || χρόνου] χρόνον LM || 10 φυγαδευθήσῃ] καὶ φιλανθρωπεύσει ἐν τῷ πράγματι addit sec M ||

**90,** 1 γαμήσεις τὴν φίλην ἄρτι] γαμεῖς τὴν φίλην ἄρτι P: ἄρτι γαμεῖς τὴν φίλην LM || 4 post ἐπιτεύξῃ LM addunt τῆς || 7 ταχέως in LM ponitur ante ὄψει || 8 μὴ] μηδὲν LM ||

**91,** 2 φαντάζου] φαντάζῃ || 3 μὴ—ζημιωθήσῃ] μὴ—ζημιοῦσαι M, στρατεύσῃ καὶ πολὺ βλαβήσῃ L || 4 in L lacuna est || 5 * *] lacunam reliquit pr M, ἐὰν ἐργάζῃ ὠφελεῖ sec M, πλεύσεις μετὰ κινδύνου ἀλλὰ θάρρη L. debebat responderi ad quaestionem 13 || 6 πλεύσεις — θάρρει] ὁ συνεχόμενος ἀπολύεται χρόνῳ L || 7 ὁ — ἀπολυθήσεται χρόνῳ] ὁ — ἀπολύεται χρόνῳ M, μὴ κοινώνει οὐ συμφέρει σοι ζημιοῦσαι L ||



Universitäts- und
Landesbibliothek Düsseldorf

η ἀπαλλαγήσῃ τῆς φίλης καὶ βλαβήσῃ
θ γενήσῃ ἐπίσκοπος βραδέως
ι οὐ καταληφθήσῃ μοιχός. μὴ ἀγωνία

δεκὰς ϟβʹ

α συνάλλαξον· ὠφεληθήσῃ γάρ
β ἐὰν ἀποδημήσῃς, βλαβήσῃ
γ προκόψεις καθὼς ηὔξω
δ οὐ συμφέρει σοι κοινωνεῖν
ε οὐ στρατεύσῃ. μὴ προσδόκα
ϛ μετὰ φόβου ἐρώτησον καὶ ἀκούσῃ τὴν ἀλήθειαν
ζ πλεύσεις, ἄρτι δὲ οὔ
η κινδυνεύει ὁ συνεχόμενος καὶ τελευτήσει
θ οὐκ ἀπαλλαγήσῃ τῆς φίλης σου
ι οὐχ ἕξεις ἐπισκοπῆσαι. μὴ προσδόκα

δεκὰς ϟγʹ

α οὐκ ἀποδημήσεις νῦν
β προκόψεις ἐξαπίνης ὅτε οὐκ οἶδας
γ κοινωνήσεις ἐπὶ βλαβῇ
δ οὐ στρατεύσῃ ἄρτι. τί σπεύδεις
ε εἰ πιστῶς ἐρωτᾷς, ἐρώτησον
ϛ πλεύσεις μετὰ τὸ ἐγκοπῆναι καὶ συμφέρει σοι
ζ ὁ συνεχόμενος ἀπολυθήσεται
η ἀπαλλαγήσῃ τῆς φίλης καὶ μεταμεληθήσῃ
θ γενήσῃ ἐπίσκοπος, βραδέως δέ
ι οὐ καταληφθήσῃ μοιχὸς ἄρτι, ὕστερον δέ

δεκὰς ϟδʹ

α οὐ πωλήσεις τὸν φόρτον ἄρτι
β ἀπολυθήσῃ τῆς συνοχῆς

---

8 ἀπαλλαγήσῃ τῆς φίλης] διαλλαγήσῃ τῇ φίλῃ LM || 9 γενήσῃ ἐπίσκοπος βραδέως] βραδέως γενήσῃ ἐπίσκοπος LM ||

**92,** 5 οὐ στρατεύσῃ μὴ προσδόκα] μὴ προσδόκα οὐ στρατεύσῃ LM || 6 ἀκούσῃ] ἄκουε LM || 8 κινδυνεύει — τελευτήσει] verba corrupta ||

**93,** 3 in L lacuna est || 4 σπεύδῃς M || 6 πλεύσεις — ἐγκοπῆναι] μετὰ τὸ ἐγκοπῆναι πλεύσεις LM || 8 ἀπαλλαγήσῃ τῆς φίλης] καταλλαγήσῃ τῇ γυναικὶ LM ||

**94,** 1 ἄρτι in LM ponitur ante οὐ ||

Universitäts- und
Landesbibliothek Düsseldorf

γ οὐ λήψῃ ἣν θέλεις γυναῖκα

δ σωθήσεται τῆς ἀσθενείας ταχέως

ε οὐ σωθήσῃ τῆς συκοφαντίας. μερίμνα

ϛ κληρονομήσεις τὴν γυναῖκα

ζ εἰπὲ τὴν δίκην· νικήσεις γάρ

η παραμενεῖ σοι τὰ ὑπάρχοντα

ϑ λήψῃ τὴν φερνὴν κατὰ μέρος

ι οὐ κληρονομήσεις τοὺς γονεῖς· προτελευτήσεις γάρ

## δεκὰς ϟεʹ

α θὲς παραβόλιον· νικήσεις γάρ

β ἕξεις ἐλπίδα πίστεως

γ ἐπιτεύξῃ τῆς ἐπικλήσεως

δ κατασταθήσῃ κληρικὸς μετὰ χρόνον μακρόν

ε οὐ συμφέρει σοι στρατηγῆσαι

ϛ οὐκ ὄψει ἄρτι θάνατον

ζ οὐ νικήσεις. σιώπα

η κληρονομήσεις, ἀλλ' οὐ μόνος

ϑ ἐὰν μισθώσῃ, βλαβήσῃ

ι οἰκονομήσεις πιστευθεὶς καὶ δοξασθήσῃ

## δεκὰς ϟϛʹ

α οὐ κληρονομήσεις τὸν φίλον

β οὐχ ἕξεις ἐσχάτην καλήν. σεαυτῷ βοήθει

γ εὑρήσεις τὸν φυγόντα εὐθέως. μὴ λυποῦ

δ οὐχ ἕξεις ἄρξαι νῦν. τί προσδοκᾷς;

ε κληρονομήσεις τὴν μητέρα, οὐ μόνος δέ

ϛ οὐ κληρονομήσεις τὸν πατέρα μόνος

ζ ἐλευθερωθήσῃ βραδέως. ἀλλὰ μὴ λυποῦ

η οὐχ ὑβρισθήσῃ. μὴ ἀγωνία, ἀλλὰ θάρρει

ϑ οὐ ζήσεται τὸ γεννώμενον, ἀλλὰ τελευτήσει

ι σωθήσῃ τῆς κατηγορίας μετὰ ὀλίγον

---

4 σωθήσεται] σωθήσῃ LM || 7 δίκην] νίκην LM || 8 παραμενεῖ] μενεῖ LM ||

**95,** 4 μετὰ addidi ||

**96,** 9 ζήσεται] ζήσει LM ||

δεκὰς ϛζη

α εὐτυχήσεις ἱλαρῶς
β μὴ συναλλάξῃς ἄρτι. περίμεινον
γ οὐκ ἀποδημήσεις ταχέως· ἐπέχει γάρ
δ προκόψεις καὶ εὐτυχήσεις ταχέως
ε κοινωνήσεις καὶ οὐ συμφέρει σοι· ζημιωθήσῃ γάρ
ϛ στρατεύσῃ νῦν καὶ ὠφεληθήσῃ πολύ
ζ ἐπιβαλοῦ μετὰ καθαροῦ τοῦ συνειδότος
η πλεύσεις μετὰ τὸ ἐγκοπῆναι
ϑ ὁ συνεχόμενος νῦν ἀπολυθήσεται τῆς συνοχῆς
ι ἀπαλλαγήσῃ τῆς φίλης. μωροποιεῖ. συμφέρει σοι

δεκὰς ϛηη

α κοινωνήσεις καὶ βλαβήσῃ
β οὐ στρατεύσῃ νῦν. περίμεινον
γ οὐκ ἔστιν ὥρα τοῦ ἐπιβαλέσθαι
δ οὐ πλεύσεις νῦν· οὐ γὰρ ἕτοιμος εἶ
ε οὐκ ἀπολυθήσεται ὁ συνεχόμενος
ϛ οὐκ ἀπαλλαγήσῃ τῆς φίλης
ζ γενήσῃ ἐπίσκοπος, ἐὰν ἀγαπήσῃς τὸν κλῆρον
η καταληφθήσῃ μοιχὸς βράδιον, ἀλλὰ σωθήσῃ
ϑ ἀγοράσεις κτῆμα ἢ οἰκίαν ἐξ ἰδίων κόπων
ι παραμενεῖς πρεσβύτερος ἕως θανάτου

δεκὰς ϛϑη

α οὐκ ἀνοίξεις ἐργαστήριον
β οὐ σωθήσῃ ἀσθενῶν

---

**97,** 2 συναλλάξεις M || ἄρτι περίμεινον] περίμεινον ἄρτι LM || 5 κοινωνήσεις — ζημιωθήσῃ γάρ] κοινωνήσεις — ζημιοῦσαι γάρ M, στρατεύσῃ καὶ ὠφελῆ πολύ L || 6 στρατεύσῃ — ὠφεληθήσῃ πολύ] στρατεύσῃ — ὠφελῆ πολύ M, κοινωνήσεις καὶ οὐ συμφέρει σοι ζημιοῦσαι γάρ L || 7 ἐπιβαλοῦ — συνειδότος] in L lacuna est || 8 πλεύσεις — ἐγκοπῆναι] πλεύσεις — ἐγκοπῆναί σε M, ἐπιβαλοῦ μετὰ καθαροῦ τοῦ συνειδότος L || 9 ὁ συνεχόμενος νῦν ἀπολυθήσεται τῆς συνοχῆς] ὁ συνεχόμενος νῦν ἀπολύεται τῆς συνοχῆς M, πλεύσεις μετὰ τὸ ἐγκοπῆναί σε L || 10 ἀπαλλαγήσῃ — σοι] διαλλάσῃ — σοι M, ὁ συνεχόμενος νῦν ἀπολύεται τῆς συνοχῆς L. dubitare licet de μωροποιεῖ ||

**98,** 6 ἀπαλλαγήσῃ] ἀπαλλάσσῃ LM || 9 κτῆμα] an χωρίον? ||

**99,** 2 σωθήσῃ] σωθήσεται LM, τελευτᾷ sec M ||

γ σοφιστεύσεις ἐξαπίνης καὶ δοξασθήσῃ
δ εὑρήσεις τὸ ἀπολόμενον βραδέως
ε ἀγορανομήσεις, ἄρτι δὲ οὔ
ϛ οὐ κληρονομήσεις τὸν φίλον
ζ οὐχ ἕξεις ἐσχάτην καλήν, ἀλλὰ πονηράν
η οὐχ εὑρήσεις τὸν φυγόντα
ϑ οὐκ ἄρξεις νῦν ὧν ἐπιθυμεῖς. μὴ προσδόκα
ι οὐ κληρονομήσεις τὴν μητέρα. μὴ ἔλπιζε

δεκὰς ρ̅ ῃ

α οὐ λήψῃ τὴν φερνήν
β οὐ κληρονομήσεις τοὺς γονεῖς· προτελευτήσεις γάρ
γ τεκνώσεις, ἄρτι δὲ οὔ. περίμεινον
δ οὐ καταλλαγήσῃ τοῖς κυρίοις σου ἐπὶ συμφέροντι
ε ἐπιτεύξῃ γραμμάτων ὧν χρήζεις
ϛ οὐχ ἕξεις χρόνον ζωῆς
ζ ἀνοίξεις ἐργαστήριον ἐξαπίνης
η σωθήσῃ ἀσθενῶν. μὴ ἀγωνία
ϑ σοφιστεύσεις ἐν τιμῇ πολλῇ
ι οὐχ εὑρήσεις τὸ ἀπολόμενόν ποτε

δεκὰς ρ̅α̅ ῃ

α ἐπιβαλοῦ ὥρᾳ γ̅, ἅπαξ δέ
β πλεύσεις, ἀλλ' ἐγκοπήσῃ τῷ πράγματι
γ στρατεύσῃ καὶ μεταμεληθήσῃ πολύ
δ κοινωνήσεις καὶ ζημιωθήσῃ πολύ
ε οὐ δυνήσῃ προκόψαι ἄρτι· ἐμποδίζῃ γάρ
ϛ ἀποδημήσεις ὅπου θέλεις ἐπὶ καλῷ σου
ζ μὴ συναλλάξῃς, ἐπεὶ βλαβήσῃ πολύ

---

3 δοξασθῇ L || 5 ἄρτι δὲ οὔ] ἀλλ' οὐκ ἄρτι LM ||

**100,** 3 τεκνώσεις] τεκνοῖς LM || περίμεινον P: μεῖνον LM || 4 καταλλαγήσῃ] ἀπαλλαγήσῃ LM || 7 ἐξάπινα L || 8 σωθήσῃ] σωθήσεται ὁ LM ||

**101,** 2 πλεύσεις] πλέεις LM || ἐγκοπήσῃ] ἐγκόπτεις P, ἐκκόπτῃ LM || 3 μεταμεληθήσῃ] μετανοεῖς LM || 4 κοινωνήσεις καὶ ζημιωθήσῃ] κοινωνεῖς καὶ ζημιοῦσαι LM || πολλά V || 5 δυνήσῃ] δύνῃ LM || γάρ om L || 6 ἀποδημήσεις] ἀποδημεῖς LM || ἐπὶ] τῷ LM || 7 μὴ — κακῶν] ζ εὐτυχεῖς ἐκ κόπων πολλῶν καὶ καλῶν η μὴ συναλλάξεις πολὺ ἐπεὶ βλάπτει M, ζ εὐτυχεῖς ἐκκόπτων πολλῶν καὶ κακῶν η μὴ συναλλάξεις πολὺ ἐπεὶ βλάπτει L ||

Universitäts- und
Landesbibliothek Düsseldorf

η εὐτυχήσεις ἐκ κόπων πολλῶν καὶ κακῶν
ϑ ἀγοράσεις τὸ προκείμενον
ι οὐ γαμήσεις ἄρτι. περίμεινον

δεκὰς ρβη

α σωϑήσῃ τῆς κατηγορίας ἄρτι
β δώσεις ἄρτι τοὺς λόγους σου ἐπ᾽ ὠφελείᾳ
γ οὐκ ἐλεύσεται ὁ ἀπόδημος· ἐπόϑησε γὰρ γυναῖκα
δ οὐκ ἀποδώσεις ἄρτι ἃ ὀφείλεις
ε δάνεισαι καὶ οὐ ζημιωϑήσῃ, κερδανεῖς δέ
ς τέξεται, ἀλλ᾽ ἄχρηστον ἔσται τὸ γεννώμενον
ζ οὐ κινηϑήσῃ τοῦ τόπου σου. μὴ ἀγωνία
η ἕξεις ὀλίγον βλαβῆναι. μὴ λυποῦ
ϑ γαμήσεις καὶ λυπηϑήσῃ μεταμεληϑείς
ι οὐκ ἀγοράσεις τὸ προκείμενον, ἐπεὶ μὴ εὐπορεῖς

δεκὰς ργη

α * *
β οὐ γενήσῃ ἐπίσκοπος. μὴ περίμενε
γ εὑρεϑήσῃ μοιχὸς μετ᾽ οὐ πολύ
δ οὐκ ἀγοράσεις χωρίον ἢ οἰκίαν
ε οὐ παραμενεῖς πρεσβύτερος
ς παραμενεῖ σοι ἡ γυνή· σωφρονεῖ γάρ
ζ ἀπαλλαγήσῃ τοῦ κλήρου ἐν τάχει
η γενήσῃ δεκάπρωτος καὶ εὐδοκιμήσεις
ϑ οὐ βλέψεις τὴν πατρίδα
ι * *

---

9 ἀγοράσεις τὸ προκείμενον] ἀγοράζεις χωρίον ἢ οἰκίαν LM || 10 γαμήσεις] κάμνεις LM ||

**102**, 1 σωϑήσῃ] σώζῃ LM || 3 ἐλεύσεται] ἔρχεται LV || 5 δάνεισαι] δάνεισον LM || ζημιωϑήσῃ] ζημιοῦσαι LM || 6 τέξεται] γεννή̈ L, γεννήσῃ M || 7 τοῦ] ἐκ τοῦ LM || 8 ἕξεις ὀλίγον] ἔχεις ὀλίγον P: ὀλίγον ἔχεις LM || μή] καὶ μὴ LM || 9 γαμήσεις] γήμῃς LM ||

**103**, 1 * *] οὐ καϑίστασαι κληρικός LM. responderi debebat ad quaestionem 66 || 2 γενήσῃ] γίνῃ LM || περίμενε P: ἀνάμενε LM || 3 εὑρεϑήσῃ] εὑρίσκῃ LM || 4 ἀγοράσεις] ἀγοράζεις LM || 5 παραμενεῖς πρεσβύτερος] παραμενεῖ τῷ κλήρῳ μισεῖς αὐτόν LM || 6 σου L || 7 ἀπαλλαγήσῃ] ἀπαλλάσσῃ LM || 8 γενήσῃ] γίνῃ LM || εὐδοκιμήσεις] εὐδοκιμεῖς LM || 9 βλέψεις] βλέπεις LM || 10 * *] ἀπαλλάσσῃ τῆς γυναικὸς ἄρτι LM. debebat responderi ad quaestionem 93 ||

Universitäts- und
Landesbibliothek Düsseldorf